ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000331739

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φώτιο Καρβέλη : ρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αρ. εισαγ. 7102

# ΕΙΡΜΟΛΟΓΙΟΝ

## ΠΕΡΙΕΧΟΝ

ΤΟΥΣ ΕΙΡΜΟΥΣ ΤΩΝ ΚΑΝΟΝΩΝ ΚΑΤ' ΗΧΟΝ, ΤΑΣ ΕΝΝΕΑ ΩΔΑΣ, ΤΑ ΦΩΤΑΓΩΓΙΚΑ, ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ, ΚΑΙ ΤΟΥΣ ΑΙΝΟΥΣ, ΜΕΤΑ ΠΑΡΑΡΤΗΜΑΤΟΣ.

## ΔΕΥΤΕΡΑ ΕΚΔΟΣΙΣ

ΠΡΟΣ ΤΟ ΕΥΡΥΘΜΟΤΕΡΟΝ ΑΝΑΧΘΕΙΣΑ
ΜΕΤ' ΑΚΡΙΒΟΥΣ ΕΠΙΔΙΟΡΘΩΣΕΩΣ,

Τῌ ΕΓΓΡΑΦῼ ΑΔΕΙᾼ

ΤΗΣ ΑΓΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ.

5/11/93

ΕΝ ΒΕΝΕΤΙΑ
ΕΚ ΤΗΣ ΕΚΚΛΗΣ. ΤΥΠΟΓΡΑΦΙΑΣ
ΤΟΥ ΦΟΙΝΙΚΟΣ
1860

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Ἀποκαταστάσης ἀναγκαίας τῆς ἀνατυπώσεως τοῦ Εἱρμολογίȣ, ἐκρίνομεν εὔλογον ἵνα πρότερον ἀναθεωρήσωμεν ἀπ' ἀρχῆς μέχρι τέλους τὸ βιβλίον, νομίζοντες ἱκανὰς μικράς τινας διορθώσεις τῶν σποράδην ἀπαντωμένων τυπογραφικῶν παροραμάτων. Ἀλλὰ συνοχὴ καὶ ἀπορία οὐ μικρὰ κατέλαβεν ἡμᾶς, ὑπότε, προχωροῦντες βαθύτερον εἰς τὴν ἀναθεώρησιν ἀνεκαλύψαμεν, ὅτι εἰς τὸ πρώτιστον μέρος καὶ τὴν καθαυτὸ ὑπόθεσιν τοῦ βιβλίου, τουτέστιν εἰς τοὺς Εἱρμοὺς, ἐπεκράτει οὐ μόνον μεγίστη ἀταξία, ἀλλὰ καὶ ἀτέλεια, καὶ ἀσάφεια, καὶ σκότος ὡς εἰπεῖν ψηλαφητὸν, πρὸς διασκέδασιν τοῦ ὁποίου ἀπῃτεῖτο λύχνος ἀνδρὸς πρὸς τὰ τοιαῦτα σοφοῦ καὶ ἱκανοῦ.

Μὴ διστάσαντες ὅμως, ἀνελάβομεν, τῇ Θείᾳ πεποιθότες ἀρρωγῇ, τὴν ἐξ ὑπαρχῆς τοῦ βιβλίου ἐπιδιόρθωσιν καὶ μεταῤῥύθμισιν κατὰ τὸν ἐφεξῆς τρόπον:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Χωρὶς παντελῶς νὰ ἐγγίσωμεν τὸ κείμενον τῶν Εἱρμῶν, (ἐκτὸς μόνον ὅπου ἦτο προφανὲς τυπογραφικόν τι λάθος,) παραβαλόντες αὐτοὺς κατ' ἐπανάληψιν πρὸς ὅλην τὴν σειρὰν τῶν ἁρμοδίων Ἐκκλησιαστικῶν Βίβλων, τουτέστι τῶν Μηναίων, τῆς Παρακλητικῆς, τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου τῶν νεωτάτων Ἐκδόσεων τοῦ Φοίνικος, μετεφέραμεν εἰς τὴν πρώτην ἐντέλειαν, καὶ τοὺς μὲν ἐν ταῖς Βίβλοις ταύταις ἀπαντωμένους Εἱρμοὺς ἐτυπώσαμεν διὰ μεγαλητέρων, τοὺς δὲ μὴ ἐν αὐταῖς εὑρισκομένους διὰ μικροτέρων χαρακτήρων. Τὴν διόρθωσιν δὲ τούτων τῶν κατά τινα τρόπον ἀδεσπότων Εἱρμῶν, τῶν ἐκ τῶν εἰρημένων Βιβλίων ἐλλειπόντων, μετήλθομεν πάσῃ προσοχῇ καὶ εὐλαβείᾳ, ἀκροθιγῶς πως διορθώσαντες ὅπου, ὡς προείπομεν, ὑπῆρχε προφανές τι ἁμάρτημα λέξεως ἢ καὶ ὅλης φράσεως, ἀφήσαντες αὐτοὺς κατὰ τὰ ἄλλα ὥσπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ πρότερον ἐφέροντο, καί τοι πλεῖστοι ἐξ αὐτῶν οὐ μόνον οὐδένα ῥυθμὸν ἔχουσι, ἀλλὰ καὶ χθαμαλῆς καὶ κακῆς εἰσι φράσεως, καὶ ὅλως δυσνόητοι.

Εἰς δὲ τὸ καθαυτὸ Εἱρμολόγιον ἐδόσαμεν τὴν ἐφεξῆς μεταῤῥύθμισιν: Ἑκάστη Ὠδὴ περιέχει τοὺς Εἱρμοὺς, πρῶτον τῶν διαφόρων κατὰ τάξιν Ἑορτῶν τῶν ἰδίους Εἱρμοὺς ἐχουσῶν, ἔπειτα δὲ κατ' ἀλφάβητον τοὺς λοιποὺς κοινοὺς ὑπὸ τὸ ὄνομα Διάφοροι, καὶ μετὰ τούτους ἕπονται ὅλοι οἱ λοιποὶ ἀδέσποτοι, ὡς προείπομεν, Εἱρμοὶ εἰς μικρότερον χαρακτῆρα, καὶ οὗτοι κατ' ἀλφάβητον. Εἰδέ τινος Εἱρμȣ̃ ἀπαντᾶται ἐν ταῖς Βίβλοις διάφορος ἀνάγνωσις, ὑπεσημειώσαμεν τοῦτο ἐν τῷ οἰκείῳ τόπῳ.

Ἐπειδὴ ἡ σειρὰ τῶν Μεγαλυναρίων τῶν Δεσποτικῶν τε Θεομητορικῶν καί τινων Ἁγίων Ἑορτῶν ἦτο κατά τινα ἐλλειπὴς, ἀνεπληρώσαμεν αὐτὴν ἐκ τῶν ἁρμοδίων πηγῶν. Ἐξεθέσαμεν δὲ πληρεστέραν καὶ

τὴν περὶ τῶν καθ' ὅλον τὸ ἔτος ψαλλομένων Καταβασιῶν ὁδηγίαν· καὶ εἴτι ἄλλο, τὴν καθ' ὅσον τὸ δυνατὸν ἀκριβῆ τοῦ βιβλίου διόρθωσιν ἀφορῶσαν, οὐ παρελείψαμεν.

Καὶ ἡ μὲν παροῦσα Ἔκδοσις τοῦ Εἱρμολογίου ἐστὶ πληρεστέρα πασῶν τῶν μέχρι τοῦδε· ἀπόκειται δὲ εἴς τινα ἐκ τῶν τοῦ Ἱεροῦ ἡμῶν Κλήρου σοφῶν περὶ τὰ Ἐκκλησιαστικὰ ἀνδρῶν ἡ ἐντελὴς τοῦ βιβλίου τούτου ἐπιδιόρθωσις καὶ μεταῤῥύθμισις.

**Ἐν Βενετίᾳ τῇ 24 Μαρτίου 1853.**

**Η ΔΙΕΥΘΥΝΣΙΣ**
**ΤΗΣ ΕΚΚΛΗΣ. ΤΥΠΟΓΡ. ΤΟΥ ΦΟΙΝΙΚΟΣ.**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΡΜΟΛΟΓΙΟΝ

## ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ Α΄.

### ΩΔΗ Α΄.

#### ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Χριστὸς γεννᾶται, δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. ᾌσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ἔσωσε λαὸν, θαυματουργῶν Δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·
Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατὴν
Πόλου τίθησιν ἡμῖν· ὅν, κατ' οὐσίαν
Ἶσόν τε Πατρὶ καὶ βροτοῖς, δοξάζομεν.

#### ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς, ἐν ἐρυθρᾷ θαλάσσῃ, διαβιβάσας Ἰσραὴλ, τὸν Σταυρόν σου τὴν ὑγρὰν, τῇ ῥάβδῳ τεμὼν, ᾠδὴν σοι ἐξόδιον, ἀναμέλπων Χριστὲ ὁ Θεός.

#### ΤΟΥ ΠΑΣΧΑ.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί. Πάσχα Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Ἄσωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας, Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης, ποδὶ ἀβρόχῳ ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

### ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων τῷ σῷ, ᾄδοντας Μονογενεῖ· Ἐνδόξως ὅτι δεδόξασται.

### ΔΙΑΦΟΡΟΙ.

Ἔπαινον ὁ θεόπτης, Μωϋσῆς τοῦ Ἰσραὴλ προανακρούεται· ἄρχει Μαριὰμ δέ, σοφῶν γυναικῶν· Ὠδὴν ἐπινίκιον, τῷ λυτρωτῇ Θεῷ πάντες ἄσωμεν.

Ὁ διὰ στύλου πυρὸς καὶ νεφέλης, τὸν Ἰσραὴλ ὁδηγήσας Θεός, τὴν θάλασσαν διέῤῥηξεν, ἅρματα δὲ Φαραῷ ἐκάλυψεν. Ἄσωμεν ᾠδὴν ἐπινίκιον, ὅτι μόνος δεδόξασται.

Πικρᾶς δουλείας ῥυσθεὶς Ἰσραήλ, τὴν ἄβατον διῆλθεν ὡς ἤπειρον· ἐχθρὸν δὲ ὁρῶν ποντούμενον, ὕμνον ἐν εὐφροσύνῃ, ᾄδει Θεῷ, τῷ τερατουργοῦντι, βραχίονι ὑψηλῷ, ὅτι δεδόξασται.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γὰρ Ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τῷ βοηθήσαντι Θεῷ, ἐν Αἰγύπτῳ τῷ Μωσῇ, καὶ δι' αὐτοῦ τὸν Φαραώ, πανστρατὶ βυθίσαντι, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασται.

Ἄσωμεν ᾆσμα καινὸν τῷ Θεῷ, τῷ ἐκ δουλείας Φαραὼ λυτρωσαμένῳ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐν ἐρήμῳ τούτους διαθρέψαντι· Ὅτι ἐνδόξως δεδόξασται (1).

Ἄσωμεν τῷ Κυρίῳ ᾆσμα καινόν· τὴν γὰρ ἄβατον γεώσας ἐρυθρὰν, πεζοπορεῖν ἐποίησε τοὺς υἱοὺς Ἰσραὴλ· καὶ τοὺς ἐναντίους ἐχθροὺς ἐκάλυψε θάλασσα.

Τὸν Φαραὼ σὺν ἅρμασιν, ἐν τῇ θαλάσσῃ κατεπόντισε, καὶ διήγαγε λαὸν, ὑμνοῦντα καὶ λέγοντα· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Τῷ Κυρίῳ ᾄσωμεν ἐπινίκιον ᾠδὴν, τῷ ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐρυθρᾶς θαλάσσης καὶ Ἰορδάνου, τὸ ῥεῖθρον πήξαντι μόνῳ, παραδόξως τοῦ Λαοῦ πεζοποροῦντος, διὰ μέσου αὐτῆς· Ἐνδόξως γὰρ δεδόξασται.

Ὑψώσω σε ὁ Θεὸς ὁ Σωτήρ μου, ὅτι ἀνέστης ἐκ νεκρῶν, πατήσας τὸν θάνατον.

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Χριστὸς ἐν πόλει Βηθλεὲμ βρεφουργεῖται, τὴν ἡμῶν ὡς εὔσπλαγχνος, καινουργῶν φύσιν· προθύμως δεῦτε γηγενεῖς, τῇ καρδίᾳ ᾆσμα μελῳδοῦ, ᾄσωμεν τῷ Δεσπότῃ, εἰς αἰῶνας· Ἐνδόξως γὰρ δεδόξασται.

## ΩΔΗ Β'.

Ἴδετε, ἴδετε, ὅτι Θεὸς ἐγώ εἰμι, ὁ δουλωθέντα τὸν λαὸν τοῦ Ἰσραὴλ, τῷ Μωϋσῇ δημαγωγεῖν, ἐν ἐρήμῳ προστάξας, καὶ σώσας ὡς δυνατὸς τῇ ἐξουσίᾳ μου.

Πρόσεχε, οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν Σωτῆρα τοῦ κόσμου, τὸν μόνον φιλάνθρωπον.

(1) Οἱ διὰ μικροτέρων χαρακτήρων τετυπωμένοι Εἱρμοὶ ἐνταῦθά τε καὶ ἐφεξῆς τοῦ βιβλίου, εἰς οὐδεμίαν ἀπαντῶνται τῶν νεωτέρων ἐκδόσεων τῶν Μηναίων, τῆς Παρακλητικῆς, τοῦ Τριῳδίου, ἢ τοῦ Πεντηκοσταρίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Σωτὴρ τοῦ κόσμου, τὸ φῶς τὸ ἀληθινὸν, ἡ πηγὴ τῆς ζωῆς, ὁ Υἱὸς τοῦ Θεοῦ.

Καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα.

Οὐρανὲ πρόσεχε καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου, ὅτι τὸ ὄνομά σου Κύριε ἐπεκαλεσάμην.

Πρόσεχε οὐρανὲ, καὶ ἄκουε γῆ, καὶ Χριστὸν ἀνύμνει τὸν ἐν σπαργάνοις εἱλιθέντα, καὶ σειρὰς τῶν πταισμάτων μου λύσαντα.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου σαρκωθέντα Θεὸν ἡμῶν.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, ὅτι ὁ Λόγος τοῦ Πατρὸς, ἑκὼν καταβέβηκεν ἐπὶ τῆς γῆς, κλίνας οὐρανοὺς, καὶ γέγονεν ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον σώσῃ ὡς φιλάνθρωπος.

Πρόσχες τῇ φωνῇ μου ὁ ἐκ Παρθένου τεχθεὶς, καὶ τὰ ῥήματά μου ἐνώτισαι, ὅτι τὸ ὄνομά σου τὸ θαυμαστὸν, Κύριε ἐπεκαλεσάμην.

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου, ᾠδικῶς σοι βοῶ· ὅτι πρὸς σὲ προσεύξομαι Κύριε· καὶ σῶσόν με.

## ΩΔΗ Γ'.

### ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν Εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν.
Φέρων τε Παντεπόπτα τῆς ἁμαρτίας
Ὕπερθεν, ἀκλόνητον ἐστηριγμένους,
Μάκαρ μελῳδοὺς, τῇ βάσει τῆς πίστεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Στερέωσον Δέσποτα Χριστὲ, τῷ Σταυρῷ σου ἐν πέτρᾳ με τῇ τῆς πίστεως, μὴ σαλευθῆναι τὸν νοῦν, ἐχθρῦ προσβολαῖς τοῦ δυσμενῦς· μόνος γὰρ εἶ Ἅγιος.

### ΤΟΥ ΠΑΣΧΑ.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Στερέωσόν με Χριστὲ, ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου· οὐκ ἔστι γὰρ Ἅγιος, πλήν σου Φιλάνθρωπε.

### ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἡ δημιουργικὴ, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος.

### ΔΙΑΦΟΡΟΙ.

Ἡ τὸν πρὸ συλλήψεως ἁγνὸν Σαμουὴλ, ἀδιστάκτως τῷ Θεῷ καθυποσχομένη, ἱερομήτωρ Ἄννα νῦν γηθομένη, ᾄδει σὺν ἡμῖν· Ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Λίθον ὃν ἀπεδοκίμασαν, οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη, εἰς κεφαλὴν γωνίας· αὐτός ἐστιν ἡ πέτρα, ἐν ᾗ ἐστερέωσε, τὴν Ἐκκλησίαν ὁ Χριστὸς, ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Μὴ ἐν τῇ σοφίᾳ, καὶ τῷ πλούτῳ καυχάσθω θνητὸς τῷ αὐτοῦ, ἀλλ' ἐν τῇ πίστει τοῦ Κυρίου, ὀρθο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δόξως κραυγάζων, Χριστῷ τῷ Θεῷ καὶ μέλπων ἀεί· Ἐπὶ τὴν πέτραν τῶν σῶν ἐντολῶν, στήριξόν με Δέσποτα.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι. (1).

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεὸς, ὁ ἐφ' ὑδάτων οὐρανὸν, στερεώσας τὸν δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντοδύναμε.

Στερέωμά μου γενοῦ, ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι οὐκ ἔστιν Ἅγιος πλήν σου Κύριε.

Στερέωσον Κύριε τὴν Ἐκκλησίαν σου, ἣν ἐκτήσω τῇ δυνάμει τοῦ Σταυροῦ σου, ἐν ᾧ ἐχθρὸν ἐθριάμβευσας, καὶ ἐφώτισας τὴν οἰκουμένην.

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς, καὶ τὴν γῆν ἑδράσας Θεὸς, κἀμὲ στερέωσον βοῶντά σοι τὸν ὕμνον· Ἅγιος εἶ Κύριε.

Ὁ στερεώσας τῷ λόγῳ σου τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, στερέωσον καὶ ἡμῶν τὴν διάνοιαν, εἰς τὸν φόβον σου Δέσποτα Κύριε.

Στερεωθήτω ἡ καρδία μου, τῇ ἐλπίδι Χριστὲ τῶν ἀγαθῶν σου, ἵνα ἀπαύστως μετ' ᾠδῆς, τὸν ὕμνον ἀνακράζω σοι. Οὐκ ἔστιν Ἅγιος καὶ γὰρ, πλήν σου Φιλάνθρωπε.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Ὑψιμέδων ἄναρχε, εὐμενὲς Λόγε, ἐπίβλεψον πρόσχες μοι, δακρυῤῥοοῦσα, ἐκτενῶς ἐβόα σοι, πρόπαλαι Ἄννα. Ἀλλ' ὡς ἐκείνης ἤκουσας θρηνῳδούσης, καὶ ἡμῶν στερέωσον τὰς φρένας Ἄναξ, τοῦ ἀξίως ὑμνεῖν σου τὰ Γενέθλια.

(1) Ὁ Εἱρμὸς οὗτος λήγει παρά τισιν ὡς ἐφεξῆς· «Ἅγιος ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.»

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Δ΄.

### ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε.

Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι,
Ἄδων Προφήτης Ἀββακοὺμ προμηνύει,
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς Παρθένου,
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν Λόγος.

### ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Ἐπὶ Σταυροῦ σε Δυνατὲ, φωστὴρ ὁ μέγας κατιδὼν, τρόμῳ ἐπαρθεὶς τὰς ἀκτῖνας, συνέστειλεν, ἔκρυψε· πᾶσα δὲ κτίσις ὕμνησεν, ἐν φόβῳ τὴν σὴν μακροθυμίαν· καὶ γὰρ ἐπλήσθη ἡ γῆ, τῆς σῆς αἰνέσεως.

### ΤΟΥ ΠΑΣΧΑ.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Μέγα τὸ μυστήριον τῆς σῆς Χριστὲ οἰκονομίας· τοῦτο γὰρ ἄνωθεν προβλέπων, θεοπτικῶς ὁ Ἀββακοὺμ, Ἐξῆλθες ἐβόα σοι, εἰς σωτηρίαν λαοῦ σου φιλάνθρωπε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σου Χριστὲ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιάσει· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

## ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοε πάλαι Ἀββακοὺμ, Χριστέ σου ὁ θαυμάσιος, τὴν ἀκοὴν καὶ φόβῳ ἔκραζεν· Ἀπὸ Θαιμὰν ὁ Θεὸς, ἥξεις καὶ ὁ Ἅγιος, ὄρους ἐκ δασέος κατασκίου, τοῦ σῶσαι σοῦ τοὺς χριστούς. Δόξα τῇ δυνάμει σου Κύριε.

Εἰσακήκοα Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, ὁ Προφήτης ἔλεγε, καὶ ἐδόξασά σου τὴν δύναμιν.

Ἐν πνεύματι προβλέπων, Προφῆτα Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκωσιν ἐκήρυττες βοῶν. Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· ὑψώθης Μακρόθυμε ἐπὶ τοῦ ξύλου, καὶ ἔπηξας ἐν αὐτῷ τὴν Ἐκκλησίαν σου.

Κατενόησα παντοδύναμε τὴν σὴν οἰκονομίαν, καὶ μετὰ φόβου ἐδόξασά σε Σωτήρ.

Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακοὺμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Σὺν τῷ θαυμασίῳ στὰς Ἀββακοὺμ, ἐπὶ τῆς θείας φυλακῆς σου Γρηγόριε, καὶ τὸν ἐπ' ὤμων Χερουβὶμ κατανοήσας, τῆς παγκοσμίου γέγονας, μυη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴς σωτηρίας, ἀεὶ κραυγάζων· Κύριε, δόξα τῇ δυνάμει σου.

Ἀββακοὺμ τὴν ἔνδοξόν σου παρουσίαν, ἄνωθεν Λόγε προϊδὼν ἀνεβόα· Ἀκήκοα Κύριε, ὅτι ἐξ ὄρους ἁγίου ἥξεις εἰς βροτῶν σωτήριαν, καὶ δέους πλήρης γεγονὼς ἀνακράζω· Ὡς μεγάλα τὰ ἔργα Χριστέ μου τῆς σῆς δόξης.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, ὅτι διὰ τοῦ Σταυροῦ σου τὸν κόσμον ἐφώτισας, καὶ ἡμῖν ἐδωρήσω τὴν σὴν ἀνάστασιν.

Ἔλαμψεν ἡ χάρις σου τοῖς ἔθνεσι, καὶ εἴδοσαν τὰ πέρατα τὴν δόξαν σου, ὅτι διὰ τοῦ Σταυροῦ σου τὸν κόσμον ὅλον ἔσωσας.

Ὅτι Θεὸς σαρκοῦται, οὐ πάσχων τροπὴν, ὁ θεσπέσιος ἐξέστη ἀκηκοὼς Ἀββακοὺμ, καὶ τὴν εἰς θεογνωσίαν ἐξ εἰδωλομανίας κατανοήσας, τῶν πιστῶν σωτηρίαν ἐκραύγαζε· Κύριε δόξα τῇ δυνάμει σου.

Τὴν ἀκοήν σου Κύριε εἰσακήκοα καὶ ἐφοβήθην, τὰ ἔργα σου κατενόησα καὶ ἐξέστην, ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων, ἐκ Παρθένου ἐτέχθης γενόμενος ἄνθρωπος.

Τὴν ἀκοὴν ὁ Προφήτης τῆς δυναστείας σου, Ἀββακοὺμ ἀκουτισθεὶς, ἐφοβήθη· τὰ ἔργα σου ὁ Θεὸς κατανοήσας ἐξέστη, καὶ ἐβόα· Δόξα τῇ δυνάμει σου Κύριε.

Τί βοᾷς ἐν Πνεύματι, λέγε Προφῆτα, προκατιδὼν ἐξέστηκας; Θεὸν κατενόησα ἐκ τῆς Παρθένου, ἑνούμενόν μοι σαρκί· ὅθεν ἐξίσταμαι.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Ἀκηκοὼς ὁ Προφήτης Χριστὲ τὴν ἀκοήν σου, ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου προελθεῖν, καὶ ἐβόησε τρόμῳ· Δόξα τῇ δυνάμει σου Κύριε.

## ΩΔΗ Ε΄.

### ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε Φιλάνθρωπε.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης,
Ἱλασμὸν ἡμῖν Χριστὲ τοῖς ἐγρηγόρως,
Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

## ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Ὀρθρίζοντες σὲ ἀνυμνοῦμεν, Σωτὴρ οἰκτίρμον, εἰρήνην εὑράμενοι τῷ Σταυρῷ σου· δι' οὗ ἀνεκαίνισας, τὸ γένος τὸ ἀνθρώπινον, φῶς πρὸς ἀνέσπερον ἄγων ἡμᾶς.

## ΤΟΥ ΠΑΣΧΑ.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

## ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν σου, Χριστὲ διηγήσομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος.

## ΔΙΑΦΟΡΟΙ.

Ἄνθρακα πυρὸς τῶν Ἠσαΐου, Σεραφὶμ θίγει χειλέων ποτὲ, τῇ λαβίδι ἀφελόμενον καὶ περιθέν· ὁ δὲ καθηράμενος, Δικαιοσύνην μάθετε, πᾶσιν ἐκήρυττεν.

Ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμέν σε Χριστὲ ὁ Θεὸς, τὸν δι' ἡμᾶς πτωχεύσαντα, καὶ σταυρὸν καὶ θάνατον, ἐν τῇ σαρκί σου ὑπομείναντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκ νυκτὸς ὀρθρίζοντες, ὑμνοῦμέν σε Χριστὲ, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν· τὴν εἰρήνην τῷ κόσμῳ, παράσχου φιλάνθρωπε.

Καταύγασον ἡμῶν τὸν νοῦν ὁ Θεὸς, τῷ φωτὶ τῶν ἐντολῶν σου, καὶ τῇ αἴγλῃ τῆς χάριτός σου, δωρούμενος ἡμῖν ἀγαθὲ τὰ σὰ ἐλέη· διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.

Νὺξ περιέσχε με Σωτὴρ, ἁμαρτίας καὶ ἀχλύς· διό μοι ἀνάτειλον, τῆς μετανοίας Κύριε, τὸν ὄρθρον ὡς εὔσπλαγχνος, πρὸ τοῦ με φθάσαι τὸ πέρας τὸ ἄδηλον, τὸ τῆς ζωῆς μου Χριστὲ ἡ ζωὴ καὶ τὸ φῶς.

Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστὲ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτὶ, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ· ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐ γινώσκομεν· τὸ ὄνομά σου ὀνομάζομεν· ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον, φῶς τὸ ἀπρόσιτον, τοῖς ὀρθρίζουσιν ἐπὶ τὰ κρίματα τῶν ἐντολῶν σου, Δέσποτα φιλάνθρωπε, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τὸ φῶς σου τὸ ἄδυτον λάμψον Χριστὲ, ταῖς καρδίαις τῶν πίστει ὑμνούντων σε, εἰρήνην σου δωρούμενος, ἡμῖν τὴν ὑπὲρ νοῦν· ὅπως ἐξ ἀγνωσίας, νυκτὸς πρὸς τὴν ἡμέραν, τῶν ἐντολῶν σου τρέχοντες, δοξολογῶμεν σε φιλάνθρωπε.

Ἐν νυκτὸς ὀρθρίζοντες, σοὶ δόξαν ἀναπέμπομεν, Κύριε ὁ Θεὸς ἡμῶν· τὴν σὴν εἰρήνην δὸς ἡμῖν, ὅτι ἐκτός σου Θεὸν ἄλλον οὐκ οἴδαμεν.

Ὁ ἐκ νυκτὸς ἀγνοίας φαιδρύνας τὰ πέρατα, φώτισόν με τῷ ὄρθρῳ τῆς φιλανθρωπίας σου Κύριε.

Ὅτι ἐκτός σου ἄλλον Θεὸν οὐ γινώσκομεν Χριστὲ καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ σὸν ὄνομα ἐπικέκληται ἡμῖν, τὴν σὴν εἰρήνην παράσχου, ταῖς ψυχαῖς ἡμῶν δεόμεθα.

Τὸ φῶς σου Κύριε καὶ τὴν ἀλήθειάν σου ἐξαπόστειλον, ὁδηγῆσαι ἡμᾶς ἐπὶ τὰ προστάγματά σου· καὶ δώρησαι ἡμῖν τὴν εἰρήνην σου φιλάνθρωπε.

Ὡς φωτισμὸς ἡμῶν ὑπάρχων Χριστέ, φώτισον ἡμᾶς· ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, φύλαξον ἡμᾶς τοὺς πεποιθότας εἰς σέ.

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Ὦ παντεπόπτα, τῶν ἀνάκτων τὸ κλέος, τίς σου τὸ φιλάνθρωπον γηγενῶν οὐ θαυμάσει; ἐν γῇ γὰρ ὤφθης, μὴ λιπὼν τὰ πατρῷα, σήμερον πᾶσαν ἐγκαινίζων τὴν κτίσιν, καὶ εἰρήνην ὡς μόνος, εἰρηνάρχης βραβεύων.

## ΩΔΗ Ϛ΄.

ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θὴρ οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις
Ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι·
Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει,
Χριστὲ προσαυδῶ, τὸν κακῶν ἀναιρέτην,
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Τὸν τύπον τοῦ θείου Σταυροῦ Ἰωνᾶς, ἐν κοιλίᾳ τοῦ κήτους, τεταμέναις παλάμαις προδιεχάραξε, καὶ ἀνέθορε, σεσωσμένος τοῦ θηρός, τῇ δυνάμει σου Λόγε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΟΥ ΠΑΣΧΑ.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστὲ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους Φιλάνθρωπε· κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι.

ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἄλιον ποντογενὲς, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου τι προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

ΔΙΑΦΟΡΟΙ.

Ἀπέῤῥιψάς με, εἰς βάθη καρδίας θαλάσσης, καὶ ἔσωσάς με Σωτὴρ, δουλείας θανάτου, καὶ ἔλυσας τὸν δεσμὸν τῶν ἀνομιῶν μου.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος. οὐκ ἔστιν ὁ ῥυόμενος· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· Σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχὺς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Ὅλος ἐκ παθῶν, ἀμέτρων συνέχομαι, καὶ κήτει κακῶν συγκαταπέπομαι· ἀλλ' ἀνάγαγε, ἐκ φθορᾶς ὁ Θεός με ὡς πρὶν Ἰωνᾶν, καὶ ἐν πίστει τὴν ἀπάθειάν μοι δώρησαι· ὅπως ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι.

Ὁ διαπόντιον, ὑπομείνας συμφορὰν, φυγῇ κλύδωνος, κλήρου φορᾷ, καὶ λαγόσι συσχεθεὶς ἁλίου θη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρὸς, οὐ διεφθάρη, ἀλλ' ἐβόα Ἰωνᾶς· Πρὸς σὲ ἡ ζωή μου ἀναβήτω Χριστέ.

Σὺν τῷ Ἰωνᾷ βοῶμέν σοι Κύριε, μετὰ φωνῆς αἰνέσεως δεόμενοι· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ· Τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, Σωτὴρ τοῦ κόσμου, κράζοντα· Δόξα σοι.

Ἐκ βαθέων ἐν θλίψει ἐβόησεν, Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, ὁ Προφήτης Ἰωνᾶς, πρὸς σὲ τὸν φιλάνθρωπον. Ὅτι εἰς βάθη θαλάσσης ἀπέῤῥιμμαι, καὶ ἐνεπάγην εἰς ἰλὺν βυθοῦ ἀπογνώσεως, τοῦ νοητοῦ χειμῶνος, τῆς ῥᾳθυμίας μου Χριστὲ, ἐξελοῦ με ὡς Ἰωνᾶν, τοῦ θηρός.

Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἀνάγαγε Χριστὲ ὁ Θεὸς, ἐκ φθορᾶς τὴν ζωήν μου βοῶ σοι φιλάνθρωπε· ὅτι ζωὴ παρὰ σοί ἐστι, καὶ ἀφθαρσία καὶ δύναμις.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Εἰς βυθὸν ἀπωλείας ἡ ταλαίπωρος φύσις, Χριστέ μου Σῶτερ, καταντήσασα πάλαι, ἔκειτο, φεῦ μοι, σκοτεινοῖς ἐν κευθμῶσιν· ἐπεὶ τῇ σῇ δὲ θεϊκῇ δυναστείᾳ, πρὸς οὐρανοῦ ἀνέδη, τὰ τερπνότατα κάλλη, Θύσω σοι Σῶτερ βοᾷ, θυσίαν αἰνέσεως.

## ΩΔΗ Ζ'.

### ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ,
Ἄπλητα θυμαίνοντος, ἠγκιστρωμένοι,
Παῖδες, τυράννου δύσθεον γλωσσαλγίαν·
Οἷς εἶκαθε πῦρ ἄσπετον, τῷ Δεσπότῃ
Λέγουσιν· Εἰς αἰῶνας εὐλογητὸς εἶ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Φλογώσεως ὁ Παῖδας ῥυσάμενος, σάρκα προσλαβόμενος, ἦλθεν ἐπὶ γῆς, καὶ ἐν Σταυρῷ προσηλωθεὶς σωτηρίαν ἡμῖν ἐδωρήσατο, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

### ΤΟΥ ΠΑΣΧΑ.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Εἰκόνι λατρεύειν, μουσικῆς συμφωνίας, συγκαλουμένης λαοὺς, ἐκ τῶν ᾠδῶν Σιὼν ᾄδοντες, πατρικῶς οἱ Παῖδες Δαυῒδ, τυράννου ἔλυσαν, τὸ παλίμφημον δόγμα, καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες· Ὁ ὑπερυψούμενος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

### ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ, θεῖος ἔρως ἀντιτασσόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός· Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

### ΔΙΑΦΟΡΟΙ.

Ἀβραμιαῖοι Παῖδες, ἐν καμίνῳ τὴν Τριάδα τυπώσαντες, τοῦ πυρὸς τὴν φλόγα, εἰς δρόσον μετέβαλον, καὶ ὑμνοῦντες ἐβόων· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο, οἱ Παῖδες δὲ χορεύοντες ἔψαλλον· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς, ἐν πυρὶ τῷ Νομοθέτῃ, καὶ τὸν τόκον τῆς Παρθένου ἐν αὐτῇ προτυπώσας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σὲ νοητὴν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τοὺς ἐν καμίνῳ Παῖδάς σου Σωτὴρ, οὐχ ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπῆλθον ὡς νυμφῶνα, τῆς καμίνου τὴν φλόγα τὴν ἄσβεστον, οἱ δι' εὐσέβειαν ποτὲ, Παῖδες ἅγιοι δειχθέντες Θεοῦ, καὶ συμφώνως μελῳδοῦντες, ὕμνον ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ (1).

Ἐν τῇ βροντώσῃ καμίνῳ, συγκατέβη ὁ Ἄγγελος τοῦ Κυρίου, τοῖς περὶ τὸν Ἀζαρίαν Παισὶ, καὶ οὐχ ἥψατο αὐτῶν τοκαθόλου τὸ πῦρ. Τότε οἱ τρεῖς ἀνυμνοῦντες ἔλεγον· Εὐλογητος εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου Φιλάνθρωπε, πο ησον μεθ' ἡμῶν, ἵνα σοι πιστῶς ἅπαντες. ᾄδοντες ψάλλωμεν, ὥσπερ οἱ Παῖδες· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

(1) Ὁ Εἰρμὸς οὗτος ἀπαντᾶται ἐνίοτε καὶ ὡς ἐφεξῆς· « Ὑπῆλθον. . . . „ τὴν ἄστεκτον, (ἀντὶ, ἄσβεστον,) . . . . δειχθέντες σαφῶς, (ἀντὶ, δειχθέντες Θεοῦ,) . . . . ἀνυμνοῦντες . . . ἔμελπον· (ἀντὶ, μελῳδοῦντες . . . . ἔψαλλον.) . . . . „

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Ὡς οἱ Παῖδες πάλαι σοι κράζομεν Λόγε· Γενοῦ σῶν δούλων, Σῶτερ φύλαξ καὶ σκέπη, καὶ σῶσον πάντας προσβολῆς ἐναντίας, ὅπως ὑμνοῦντές σε σοῖς ἐν Γενεθλίοις, εἰς αἰῶνας λέγωμεν· Εὐλογητὸς εἶ.

## ΩΔΗ Η'. (1)

ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογειτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Μήτραν ἀφλέκτως εἰκονίζουσι Κόρης,
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι Νέοι,
Ὑπερφυῶς κύουσαν ἐσφραγισμένην.
Ἄμφω δὲ δρῶσα, θαυματουργίᾳ μιᾷ,
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Χεῖρας ἐν τῷ λάκκῳ βληθεὶς, τῶν λεόντων ποτὲ, ὁ μέγας ἐν Προφήταις, σταυροειδῶς ἐκπετάσας, Δανιὴλ ἀβλαβὴς, ἐκ τῆς τούτων καταβρώσεως σέσωσται, εὐλογῶν Χριστὸν, τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

(1) Δύο Κανόνες, ὁ μὲν τῶν Ἁγ. Μακκαβαίων τῇ Α'. Αὐγούστου, ὁ δὲ τοῦ Ἀποστ. Ἀνδρέου τῇ Λ'. Νοεμβρίου, ἔχουσι τὰς ὀγδόας Ὠδὰς ὁ μὲν πρῶτος πρὸς Εἱρμὸν ἀρχόμενον "Τὸν ἐν σοφίᾳ τοὺς οὐρανούς,, ὁ δὲ δεύτερος πρὸς Εἱρμὸν, "Τὸν ἐν Σινᾷ τὴν βάτον,,. Ἀμφότεροι δὲ οἱ Εἱρμοὶ οὗτοι εἰς οὐδὲν τῶν προμνησθέντων Ἱερῶν Βιβλίων ἀπαντῶνται ὁλόγραφοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΤΟΥ ΠΑΣΧΑ.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

### ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Τὸν ἐν φλογὶ πυρὸς, καιομένης καμίνου, διαφυλάξαντα Παῖδας, καὶ ἐν μορφῇ Ἀγγέλου συγκαταβάντα τούτοις, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενὴς, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### ΔΙΑΦΟΡΟΙ.

Ἐν καμίνῳ Παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίȣ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τȣ̀ς αἰῶνας.

Οἱ μὴ τῇ τροφῇ χρανθέντες Παῖδες, βασιλικῆς τραπέζης, εἰς πῦρ χαίροντες ἔβησαν ποτέ· καὶ ἐν φλογὶ δροσιζόμενοι, προθύμως ἔψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ, ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κτίστην καὶ Κύριον, ὑμνεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τέρατος ὑπερφυοῦς ἔδειξε τύπον, ἡ πυρένδροσος κάμινος πάλαι· τὸ γὰρ πῦρ οὐκ ἔφλεξε νέους Παῖδας, Χριστοῦ προδηλοῦν, τὴν ἀσπόρως ἐκ Παρθένου θείαν γέννησιν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ, διασώσαντα Παῖδας, καὶ τὴν βροντόφλογον μεταβαλόντα εἰς δρόσον, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὕμνον σοι προσφέρομεν τῶν Ἀσωμάτων, ὥσπερ οἱ Παῖδες ἐν τῇ καμίνῳ, καὶ ὑμνοῦντες λέγομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ τρίφωτος οὐσία, καὶ τρισήλιος δόξα, συγκατέβη τοῖς Παισὶν ἐν μέσῳ πυρὸς, τούτους ἀσινεῖς διατηροῦσα, καὶ τὴν ἀνάστασιν ἡμῖν προκαταγγέλλουσα, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ὑμνοῦσιν Ἄγγελοι, καὶ τὰ πλήθη τῶν βροτῶν, ὡς νικητὴν τοῦ θανάτου εἰς τοὺς αἰῶνας.

Τὴν ᾠδὴν Ἀνανίου, τῷ ἀνάρχῳ πάντοτε Πατρὶ καὶ Θεῷ· τὴν εὐχὴν Ἀζαρίου, τῷ συνανάρχῳ Λόγῳ υἱῷ τοῦ Πατρός· καὶ Μισαὴλ τὸν ὕμνον, τῷ θείῳ Πνεύματι καὶ συναϊδίῳ, ὀρθοδόξῳ πίστει προσάξωμεν, Λαοὶ εἰς σωτηρίαν.

Τὸν Βασιλέα τῆς δόξης, καὶ νικητὴν τοῦ θανάτου, Ἰησοῦν τὸν Ναζωραῖον, αὐτὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμνοῦσί σε στρατιαὶ τῶν Ἀγγέλων, δοξάζει σε τὸ γένος τῶν ἀνθρώπων, Ἱερεῖς καὶ δοῦλοι, καὶ ψυχαὶ Δικαίων, ὡς Κτίστην καὶ Κύριον τοῦ παντὸς εἰς τοὺς αἰῶνας.

Ὑμνῳδοὺς ἡ κάμινος πάλαι, Παῖδας δεξαμένη ἀφλέκτους διεφύλαξε· μέσον δὲ φλογὸς ἑστῶτας, συμφώνως ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δειν ἐδίδασκεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Νεουργὲ τοῦ σύμπαντος κόσμου καὶ σῶστα, ὑμνεῖ σε πᾶσα μετ' Ἀγγέλων ἡ κτίσις· σκιρτᾷ χορεύει καὶ ἀγάλλεται τρόμῳ, Εὐλογεῖτε λέγουσα πάντα τὰ ἔργα, τὰ σεπτὰ Γενέθλια τοῦ Λυτρωτοῦ μου, σὺν ἐμοὶ εἰς τοὺς αἰῶνας, πόθῳ ὑπερυψοῦντα.

## ΩΔΗ Θ΄.

ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον χερουβικὸν, τὴν Παρθένον· τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν· τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν, συντόνως τεθειμένους,
Ἐργῶδές ἐστιν· ἀλλὰ καὶ Μῆτερ σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ.

Ὦ Μῆτερ Παρθένε, καὶ Θεοτόκε ἀψευδὴς, ἡ τεκοῦσα ἀσπόρως, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἐν Σταυρῷ ὑψωθέντα σαρκὶ, σὲ οἱ πιστοὶ, ἅπαντες ἀξίως, σὺν τούτῳ νῦν μεγαλύνομεν.

ΤΟΥ ΠΑΣΧΑ.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΘΩΜΑ.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα τοῦ Θεοῦ, τὴν ἀρίζηλον δόξαν, καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων, ἐν ὕμνοις μεγαλύνομεν.

ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος· Ἡ μετὰ τόκον παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σώζοις ἀεὶ, Θεοτόκε τὴν κληρονομίαν σου.

ΤΟΥ ΑΓ. ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Ὁ τὸν ἄνω βυθὸν τῆς θείας ἀκαταληψίας, εὐσεβῶς αναυηξάμενος, καὶ τὸν νοῦν ὡς ἐκ πέτρας ἀπεριλήπτου, τῆς θεαρχικῆς ἀπαιωρήσας Τριάδος, παμμακαριστε Πάτερ, σὲ μεγαλύνομεν.

ΔΙΑΦΟΡΟΙ.

Ἀπόρρητον τὸ τῆς Παρθενου Μυστηριον· οὐρανὸς γὰρ αὔτη, καὶ θρόνος Χερουβικος, καὶ φωσφόρος παστὰς ανεδείχθη, Χριστοῦ του Θεοῦ καὶ παντοκράτορος· αὐτὴν εὐσεβως, ως Θεοτόκον μεγαλύνωμεν.

Ἐποίησε κράτος ἐν βραχίονι αυτοῦ· καθεῖλε γὰρ δυνάστας ἀπο θρονων, καὶ ὕψωσε ταπεινοὺς ὁ Θεὸς τοῦ Ἰσραὴλ· ἐν οἷς επεσκέψατο ἡμᾶς, Ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ημᾶς εἰς ὁδὸν εἰρήνης.

Σὲ ἥν περ εἶδε Μωϋσῆς, ἀκατάφλεκτον βάτον, καὶ κλίμακα ἔμψυχον, ἣν Ἰακὼβ τεθέαται, καὶ πύλην οὐράνιον, δἰ ἧς διῆλθε Χριστὸς ὁ Θεὸς ἡμῶν, ὕμνοις Μῆτερ ἁγνὴ μεγαλύνομεν.

Σὲ τὴν ὁραθεῖσαν πύλην, ὑπὸ Ἰεζεκιὴλ τοῦ Προ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φήτου, ἐν ᾗ οὐδεὶς διῆλθεν, εἰμὴ ὁ Θεὸς μόνος, Θεοτόκε Παρθένε, ἐν ὕμνοις μεγαλύνομεν.

Τὴν ζωοδόχον πηγὴν τὴν ἀένναον, τὴν φωτοφόρον λυχνίαν τὴν πάγχρυσον, τὸν ναὸν τὸν ἔμψυχον, τὴν σκηνὴν τὴν ἄχραντον, τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον ἐν ὕμνοις τιμήσωμεν.

Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπότης, ὡς ὑετὸς ἐξ οὐρανοῦ, καὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ ἄναρχος, μεγαλύνωμεν πάντες, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος, ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Χαῖρε Παρθενίας καύχημα, χαῖρε Μήτηρ ἄχραντε, ἣν ἡ σύμπασα κτίσις, θείαις ἐν ᾠδαῖς μεγαλύνομεν.

Λειτουργὸς ἀσώματος, ἐπέστη λέγων τῇ Κεχαριτωμένῃ· Ὁ Κύριος μετὰ σοῦ ἣν μεγαλύνομεν.

Σὲ τὴν ἐν κροσσωτοῖς χρυσοῖς, περιβεβλημένην πεποικιλμένην Θεοτόκε, τὴν περιστερὰν περιηργυρωμένην, καὶ κεχρυσωμένην ἐν χλωρότητι χρυσίου, μεγαλύνομεν.

Σὲ τὴν οὐρανῶν ὑψηλοτέραν, καὶ ἐπὶ γῆς οὐρανὸν, καὶ θρόνον γενομένην, Μητέρα Θεοῦ, πᾶσαι αἱ γενεαὶ μεγαλύνομεν.

Σὲ τὸν ἀμήτορα τὸ πρῶτον, καὶ ἀπάτορα τὸ δεύτερον, ὡς Θεὸν καὶ ἄνθρωπον, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὸ ὄρος τοῦ Θεοῦ τὸ τετυρωμένον, ἐν ᾧ εὐδόκησε σαρκὶ ὁ Θεὸς κατοικῆσαι, Θεοτόκε Μαρία μεγαλύνομεν.

Σεραφικῶς προσφωνοῦντες βοῶμέν σοι, Θεοτόκε οἱ πιστοί· Διὰ σοῦ ἐμεγάλυνε Κύριος, τοῦ ποιῆσαι μεθ' ἡμῶν· διό σε Ἁγνὴ, καὶ τὸν ἐκ σοῦ ἀπειράνδρως σαρκωθέντα, ὡς Θεὸν τῶν ἁπάντων, ἐν ὕμνοις μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σὺ χωρίον Ἁγνὴ τῆς θείας ἀπεριληψίας, ὑπὲρ φύσιν ἐχρημάτισας, ὡς Θεῷ τὴν σάρκα δανεισαμένη, καὶ σοῦ παρθενικὴν, μὴ διαῤῥήξασα μήτραν, ἐν τῷ τίκτειν ἀσπόρως· σὲ μεγαλύνομεν.

Χαῖρε Θεοτόκε Παρθένε, Μήτηρ εὐλογημένη· ἐκ σοῦ γὰρ προῆλθε Θεὸς σεσαρκωμένος· τοῦτον δοξάζοντες, σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

### ΠΡΟΕΟΡΤΙΟΝ ΤΩΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΩΝ.

Χαίροις πάναγνε θεοδέγμον Μαρία· χαίροις ἄχραντε τῶν πεπτωκότων βάσις· ἐν σοὶ γὰρ ὤφθη σήμερον ὁ Δεσπότης. Ὢ θαῦμα, καινουργοῦν τοὺς φθαρέντας, καὶ πρὸς φῶς ἐπανάγον τὸ ἀνέσπερον Κόρη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ Β΄.

## ΩΔΗ Α΄.

### ΤΩΝ ΦΩΤΩΝ.

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται.

Στείβει θαλάσσης κυματούμενον σάλον,
Ἤπειρον αὖθις Ἰσραὴλ δεδειγμένον.
Μέλας δὲ πόντος τριστάτας Αἰγυπτίων,
Ἔκρυψεν ἄρδην ὑδατόστρωτος τάφος,
Ῥώμῃ κραταιᾷ, δεξιᾶς τοῦ Δεσπότου.

### ΔΙΑΦΟΡΟΙ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ἐν θαλάσσῃ πάλαι λαὸν καθοδηγήσαντι, καὶ ἐν αὐτῇ τὸν Φαραὼ πανστρατὶ βυθίσαντι, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασται.

Ἄτριπτον ἀσυνήθη, ἀβρόχως θαλαττίαν ἀνύσας τρίβον, ὁ ἐκλεκτὸς ἔβοα Ἰσραήλ· Τῷ Κυρίῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Ἐν βυθῷ κατέστρωσε ποτὲ, τὴν Φαραωνίτιδα, πανστρατιὰν ἡ ὑπέροπλος δύναμις· σαρκωθεὶς ὁ Λόγος δὲ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν· ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὴν Μωσέως ᾠδὴν, ἀναλαβοῦσα βόησον ψυχή· Βοηθὸς καὶ σκεπαστὴς, ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν.

Τῷ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι, ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι παραδόξως τὸν Ἰσραὴλ ἔσωσε, δουλείας λυτρωσάμενος, καὶ τυραννοῦντας ἐχθροὺς ἐκάλυψε θάλασσα.

Ἐπὶ τὴν ἄβυσσον μολὼν, ὁ Ἰσραηλίτης λαὸς ἀνέμελπε· Τῷ ἐν χειρὶ κραταιᾷ δυνατῷ, συντρίψαντι πολέμους, Φαραὼ τοῦ τυράννου, ᾄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Ἴχνεσιν ἀβρόχοις, Ἰσραηλίτης διεβιβάζετο, τῇ τομῇ τῶν ὑδάτων· προεδήλου δὲ τὸν Σταυρὸν τῇ εἰσόδῳ, τὴν Ταφὴν ἐξόδῳ τὴν σεπτὴν, καὶ θείαν Ἐξανάστασιν, ᾄδων ἐν αἰνέσει, τῷ Λυτρωτῇ ἐπινίκιον.

Νάματα πάλαι Ἐρυθρᾶς διέῤῥηξας. τῇ ῥάβδῳ τοῦ Νομοθέτου, καὶ λαὸν περιούσιον ἀβρόχως διέσωσας, ἐπινίκιον ᾄδοντα ᾠδὴν, τῇ τροπαιούχῳ σου Χριστὲ δεξιᾷ.

Συνεπάγη πρὸς ἑαυτὴν συσχεθεῖσα. ὑδάτων φύσις διάῤῥοιος, ἐρυθραῖον δὲ κῦτος Ἰσραὴλ ἀβρόχοις ἴχνεσι, διεβιβάζετο, ἔπαινον τῷ Σωτῆρι, θεηγόροις προσάγων ἐν ᾄσμασιν.

Τῆς ἀβύσσου πάλαι τὸ ἄπειρον, ὁ Μωϋσῆς σταυροτύπως διέτεμε διὰ τῆς ῥάβδου, καὶ τὸν Φαραὼ πανστρατιᾷ ἐν αὐτῇ κατεπόντισεν· οἱ δὲ Ἰσραηλῖται τὸ τέρμα τῆς θαλάσσης διοδεύοντες, ᾠδὴν ἀνέμελπον· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Τῷ μεταστρέψαντι τὴν θάλασσαν εἰς ξηρὰν, καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ᾄσωμεν Χριστῷ τῷ Θεῷ, ὅτι δεδόξασται.

Ὑψαυχένων ἐν ἅρμασι, καὶ ἐν τριστάταις κραταιοῖς, ὁ Φαραὼ ἐν Ἐρυθρᾷ κατεποντίσθη πανστρατί· ὁ δὲ Μω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σῆς τὸν Ἰσραὴλ, ὡς ἐπὶ ξηρᾶς διαπερῶν θείῳ προστάγματι, ὑπέψαλλεν· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

## ΩΔΗ Β'.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ ἐν θαλάσσῃ σώσας; καὶ ἐν ἐρήμῳ κορέσας, Ἰσραηλίτην λαὸν, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας τοῖς βροτοῖς· ἵνα τὸν πάλαι τῇ φθορᾷ, πεπτωκότα φορέσας, ἑλκύσω πρὸς ἐμαυτὸν, δι' ἄφατον ἔλεος.

Προσέχετε λαοὶ, τὰ τεράστια τῶν ἔργων, τῆς θείας μου δυναστείας, καὶ ἐν τούτῳ ἐπιγνώσεσθε, ὅτι μόνος ἐγώ εἰμι Θεὸς τοῦ παντός.

Προσέχετε λαός μου τῷ νόμῳ μου· κλίνατε τὸ οὖς ὑμῶν, εἰς τὰ ῥήματα τοῦ στόματός μου· ὅτι τὸ ὄνομά σου Κύριε ἐκάλεσα.

Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Οὐρανὸς καὶ ἡ γῆ προσεχέτωσαν, καὶ Χριστὸν ἀνυμνείτωσαν, τὸν ἐν Ἰορδάνῃ βροτῶν ἀναπλάσαντα σήμερον γένος, φθαρὲν ἐκ παραβάσεως.

Οὐρανός μοι πρόσεχε, γῆ ἐνωτίζου τὰ ῥήματά μου, ὅτι ἐκ βάθους τῆς καρδίας μου, ἐξηρευξάμην Θεοῦ μεγαλουργίαν, σήμερον τῇ μνήμῃ τῶν σοφῶν Ἀποστόλων αὐτοῦ.

## ΩΔΗ Γ'.

### ΤΩΝ ΦΩΤΩΝ.

Ἰσχὺν ὁ διδοὺς, τοῖς βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων,
Βορῶν λεόντων συντεθλασμένων μύλας,
Ἀγαλλιῶμεν καὶ πλατύνωμεν στόμα,
Λόγῳ πλέκοντες ἐκ λόγων μελῳδίαν,
Ὧ τῶν πρὸς ἡμᾶς, ἥδεται δωρημάτων.

## ΔΙΑΦΟΡΟΙ.

(1) Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου· ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Σὺ τῷ λόγῳ σου Κύριε, οὐρανοὺς ἐστερέωσας· σὺ καὶ τὴν ἐμὴν ἐν τῇ πίστει, καρδίαν στερέωσον.

Τόξον συνετρίβη δυναστῶν, τῷ κράτει σου Χριστὲ, καὶ δύναμιν ἀσθενεῖς, σὲ περιεζώσαντο.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ὅτι ἐτέχθης ἐπὶ τῆς γῆς, καὶ ἔσωσας τὸν πεπλανημένον.

Οἱ οὐρανοὶ τῶν οὐρανῶν, τὴν δόξαν σου Σωτὴρ διηγούμενοι, ἐπ' αἴνεσιν ἐγείρουσι τῶν Ἀγγέλων τὰ πλήθη, καὶ βροτοὶ ἀναμέλπουσιν· Οὐκ ἔστι πλήν σου Θεὸς καὶ

(1) Ὁ Εἱρμὸς οὗτος ἀπαντᾶται πολλαχοῦ ἀρχόμενος. « Τῆς πίστεως ἐν » πέτρᾳ με » διὰ τὸν ῥυθμὸν τῆς Ἀκροστιχίδος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κύριος, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα.

Ὁ καταρχὰς τῇ σοφίᾳ σου Χριστὲ, τοὺς οὐρανοὺς στερεώσας ἐν συνέσει, ἑδράσας δὲ γῆν θεοπρεπῶς, ἐπὶ ὑδάτων ἀπείρων τῷ κράτει σου, στερέωσόν με δέομαι, ἐν τῇ στερεᾷ κρηπῖδι τῆς πίστεως.

Ὁ στερεώσας καταρχὰς τῇ σοφίᾳ καὶ τῷ λόγῳ τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ γῆν ἑδράσας ἐπὶ ὑδάτων, ἀνάστηθι ἐκ τάφου, διδοὺς ἡμῖν κέρας σωτηρίας.

Ὁ οὐρανὸν ἐκτείνας ὡσεὶ δέῤῥιν, καὶ τὴν ξηρὰν ἑδράσας ἐφ' ὑδάτων, τῷ θείῳ σου νεύματι Χριστὲ ὁ Θεὸς, κἀμὲ στήριξον, ἐν τῇ ὀρθοδόξῳ πίστει, ἀνακράζοντα· Ἅγιος οὐκ ἔστι πλὴν σοῦ.

Στερέωσόν με, Κύριε ὁ Θεός μου, ἵνα μὴ καυχήσηται ἐπ' ἐμὲ ὁ ἐχθρός μου· σὺ γάρ μου εἶ Κύριε στερέωμα, καὶ καταφυγὴ καὶ δύναμις.

Στερέωσόν με Κύριε, ὁ στερεώσας δυνάμει τοὺς οὐρανοὺς καὶ στήριξον τὴν καρδίαν μου εἰς τὸν φόβον σου, ἵνα τῆς Ἄννης τὴν ᾠδὴν προσάξω σοι τῷ Λόγῳ· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, ὁ ὑψώσας τὸ κέρας τῶν χριστῶν αὐτοῦ.

Φρουρὸς ἀσφαλὴς, καὶ ἄσειστον ἔρεισμα, ὑπάρχεις Χριστὲ, τῶν ἐλπιζόντων εἰς σέ· ἀκλονήτους στηρίζων ἡμᾶς, βεβαίωσον ἐν τῇ στεῤῥᾷ σου κρηπῖδι, τῆς ἐλπίδος καὶ πίστεως.

## ΩΔΗ Δ΄.

### ΤΩΝ ΦΩΤΩΝ.

Ἀκήκοε Κύριε φωνῆς σου, ὃν ~~εἶπας~~, Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ· ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,
Ὑμνῶν Προφήτης τὴν βροτῶν καινουργίαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ῥήγνυσι γῆρυν Πνεύματι κροτουμένην,
Σάρκωσιν ἐμφαίνουσαν ἀῤῥήτου Λόγου,
Ὣς τῶν δυναστῶν τὰ κράτη συνετρίβη.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοα Κύριε, τὴν ἔνδοξόν σου οἰκονομίαν, καὶ ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν.

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν, τῆς σῆς οἰκονομίας. καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε.

Ἐλήλυθας, ἐκ Παρθένου οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Τὴν ἐκ Παρθένου σου γέννησιν, ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· Τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην· ὅτι ἀπὸ Θαιμὰν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου, ἐπεδήμησας Χριστέ.

Ὑμνῶ σε· ἀκοὴν γὰρ Κύριε, εἰσακήκοα καὶ ἐξέστην· ἕως ἐμοῦ ἥκεις γὰρ, ἐμὲ ζητῶν τὸν πλανηθέντα. Διὸ τὴν πολλήν σου συγκατάβασιν, τὴν εἰς ἐμὲ δοξάζω Πολυέλεε.

Δύο λῃστῶν ἐν μέσῳ, ἡ Ζωὴ ἐπὶ ξύλου ἐκρέματο· συνάψαι γὰρ τὰ πρὶν διεστῶτα τὰς παλάμας ἐξέτεινε, τῇ ἰδίᾳ βουλήσει· καὶ ἀναστὰς τριήμερος, συνανέστησε τὴν φύσιν τὴν βροτείαν, δοξάζουσαν αὐτοῦ τὴν θείαν συγκατάβασιν.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς θείας δυναστείας σου Χριστὲ, ὅτι ἀσπόρως ἐν γαστρὶ Παρθένου συνελήφθης, καὶ ἐβόησα· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐκ Παρθένου ἀλοχεύτως, ἐπέφανας τῷ κόσμῳ ὡς ἥλιος, τῆς ἀφθαρσίας τὴν δόξαν καταυγάζων ἡμῖν, τοῖς ἐξ Ἀδὰμ ἐν παραβάσει κατακριθεῖσι Κύριε· διὸ τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος, ὁ Προφήτης Ἀββακοὺμ ἀνεβόα· Δόξα Χριστὲ τῇ δυνάμει σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἔθυ γὰρ ἀγάπησιν κραταιὰν ἰσχύος σου Κύριε.

Ἐξ ὄρους λίθος ἄνευ χειρὸς ἐτμήθης, Χριστὲ ἐκ τῆς Παρθένου Μητρός· ὅθεν ὁ Προφήτης, προϊδὼν ἀνεβόα· Εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας· δόξα τῇ δυνάμει σου Κύριε.

Θαῦμα φρικτὸν ἐνηχηθεὶς, ὁ θαυμάσιος Ἀββακοὺμ, τὴν ἀπόῤῥητόν σου Λόγε Θεοῦ παρουσίαν, ὅτι ἐξ ὄρους κατασκίου δασέος, ἀναλλοίωτε σαρκούμενος προῆλθες, καὶ ὡς ἐν ἐκστάσει γεγονὼς ἀνεκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Λαμπαδίῳ τὸ πρὶν ὁ Ἀββακοὺμ φωτιζόμενος Κύριε, τὴν σὴν ἐνανθρώπησιν, προμηνύων ἐβόα· Ἐξ ἁγίας Παρθένου προελθεῖν ἀναλλοίωτε, εἰς ἀνάπλασιν τοῦ πάλαι Ἀδὰμ ηὐδόκησας.

Προβλεπτικῶς ὁ Προφήτης, μυσταγωγηθεὶς σου Χριστὲ τὴν ἔλευσιν ἐξίσταται· ἣν προαγορεύων ἐβόα· Τῆς αἰνέσεώς σου πεπλήρωται ἡ γῆ· θεοπρεπῶς γὰρ τὴν ἡμετέραν πτωχείαν οὐ παρεῖδες, ἀλλ' ἦλθες καὶ ἔσωσας.

Τὸ ἄφραστον Μυστήριον τῆς ἐνανθρωπήσεώς σου Χριστὲ ὁ Θεὸς, μυστικῶς προκατιδὼν ὁ Ἀββακοὺμ ἀνεβόα· Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ δοξάζω τὴν δύναμίν σου.

## ΩΔΗ Ε'.

### ΤΩΝ ΦΩΤΩΝ.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν, εἰρήνην χαρίζεται.

Ἐχθροῦ ζοφώδους, καὶ βεβορβορωμένου,
Τῷ καθάρσει Πνεύματος λελουμένοι,
Νέαν προσωρμίσθημεν ἀπλανῆ τρίβον,
Ἄγουσαν ἀπρόσιτον εἰς θυμηδίαν,
Μόνοις προσιτὴν, οἷς Θεὸς κατηλλάγη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΔΙΑΦΟΡΟΙ.

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας, Χριστὲ ὁ Θεός· διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ προοφθείς, Ἥλιος παρθενικῆς ἀπὸ γαστρὸς ἀνέτειλε, τοῖς ἐν σκότει πεπλανημένοις, θεογνωσίας φωτισμὸν δωρούμενος.

Ὁ σκιόγραφον ἀχλύν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς Θεόπαιδος, καταυγάσας τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον.

Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτί, τῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτός σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Ὁ φωτισμός, τῶν ἐν σκότει κειμένων, ἡ σωτηρία τῶν ἀπεγνωσμένων Χριστὲ Σωτήρ μου, πρὸς σὲ ὀρθρίζω Βασιλεῦ τῆς εἰρήνης, φώτισόν με τῇ ἐπιλάμψει σου· ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐκ ἐπίσταμαι.

Τὴν ἀχλὺν τῆς ψυχῆς μου, Σωτήρ μου διασκεδάσας, τῷ φωτὶ τῶν ἐντολῶν σου καταύγασόν με, ὡς μόνος τῆς εἰρήνης Βασιλεύς.

Τῆς νυκτὸς διελθούσης, ἤγγικεν ἡ ἡμέρα, καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέλαμψε· διὰ τοῦτο ὑμνοῦσι τάγματα Ἀγγέλων, καὶ δοξολογοῦσί σε Κύριε.

Ἐκ νυκτὸς ὑμνοῦμέν σε Χριστὲ ὁ Θεός, ὅτι εὐδοκίᾳ τοῦ Πατρὸς ἑαυτὸν εἰς κένωσιν καθῆκας, διὰ τὴν σωτηρίαν ἡμῶν.

Ζωὴ πεφυκώς, καὶ φῶς ὑπάρχων Χριστὲ ὁ Θεός, τῆς ζοφερᾶς ἀγνοίας διασκεδάσας τὴν ἀχλύν, φωταγώγησον ἡμῶν τῆς διανοίας, τὰς νοερὰς αἰσθήσεις, τῷ ἀδύτῳ σου φέγγει τῆς γνώσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κτῆσαι ἡμᾶς Κύριε, τὰς αἰχμαλωτισθέντας ὑπὸ τῆς ἁμαρτίας· καὶ φώτισον Σωτὴρ, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε τὸν μόνον Λυτρωτὴν, καὶ Φωταγωγὸν τῶν ψυχῶν ἡμῶν.

Ὄρθρος φαεινὸς ἀνέτειλεν ἐκ τάφου· τῇ γὰρ καθόδῳ τῇ αὐτοῦ, φωτὸς ἐπλήσθη τὰ καταχθόνια· Δικαίων ψυχαὶ ἀνέστησαν, ἐν δόξῃ δοξολογοῦσαι, τὴν φρικτὴν καὶ θείαν ἐξανάστασιν· σὺ γὰρ μόνος Βασιλεὺς, καὶ κραταιὸς, καὶ δυνατὸς, καὶ τῆς εἰρήνης.

Σὲ τὸν τῆς δόξης Ἥλιον ἄδυτον Χριστὲ, ἐκ καρδίας ἱκετεύω· Φώτισόν μου τῆς ψυχῆς τὰς πεπηρωμένας κόρας, ἐκ νυκτὸς ἁμαρτίας, πρὸς ἐργασίαν τῶν ἐντολῶν σȣ.

Τὸ ἀνέσπερον φῶς σου Χριστὲ, λάμψον εἰς ἡμᾶς φωτοδότα, καὶ τὸν ζόφον τῶν πταισμάτων ἡμῶν διασκέδασον, τῆς εἰρήνης ὁ ἄναξ.

Τὸ φῶς τῶν προςαγμάτων σȣ, καταύγασον Χριςὲ τῇ καρδίᾳ μȣ, ὅπως ἐν αἰνέσει τὴν σὴν ἀπαύςως δοξολογήσω, ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

Τῷ φωτισμῷ τῶν ἐντολῶν σȣ, μόνε Οἰκτίρμον καταύγασον, τὴν ψυχήν μȣ δέομαι· νῦν ἐκ βάθȣς ὕπνου τῆς ῥαθυμίας, πρὸς ὄρθρον ἀνάςησον, σύςασιν χοϊκὴν, ὅπως ὑμνήσω σε Χριςὲ φῶς τὸ ἀνέσπερον.

## ΩΔΗ Ϛ'.

### ΤΩΝ ΦΩΤΩΝ.

Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτὸς ὁ ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδȣ̀ γὰρ πάρεστι Χριστὸς, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Ἱμερτὸν ἐξέφηνε σὺν πανολβίῳ
Ἤχῳ Πατὴρ, ὃν γαστρὸς ἐξηρεύξατο,
Ναὶ, φησιν, οὗτος, συμφυὴς γόνος πέλων,
Φώταυγος ἐξώρουσεν ἀνθρώπων γένους,
Λόγος τέ μου ζῶν, καὶ βροτὸς προμηθείᾳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΔΙΑΦΟΡΟΙ.

Ἄβυσσος ἁμαρτημάτων, ἐκύκλωσέ με ἐσχάτη· ἀλλ' ὡς τὸν Προφήτην Ἰωνᾶν, ἀνάγαγε Κύριε Κύριε, ἐκ φθορᾶς τὴν ζωήν μου.

Βυθῷ ἁμαρτημάτων συνέχομαι Σωτὴρ, καὶ ἐν πελάγει τοῦ βίου χειμάζομαι· ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρὸς, κἀμὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσον Σωτήρ.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ἦχον ῥημάτων δεήσεως, ἐκ κατωδύνου Δέσποτα, ψυχῆς ἐπακούσας, τῶν δεινῶν με λύτρωσαι· μόνος γὰρ εἶ τῆς ἡμῶν, σωτηρίας αἴτιος.

Πρὸς Κύριον, ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε· Σύ με ἀνάγαγε, ἐκ πυθμένος ᾅδου δέομαι· ἵνα ὡς Λυτρωτῇ ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι.

Ἄβυσσός με πολλὴ ἁμαρτημάτων κυκλοῖ, καὶ βοῶ σοι τὸν Προφήτην ἐκμιμούμενος· Ἐκ φθορᾶς με Κύριε ἀνάγαγε.

Ἁλίῳ θηρὶ περιπεσὼν ὁ Ἰωνᾶς, ἀσινὴς σέσωσται· ἐγὼ δὲ συσχεθεὶς ὑπὸ πολλῶν μου δεινῶν, εἰς χάος ἔρριμμαι· ἀλλὰ δέομαί σου Ἰησοῦ ὁ Θεός μου, προφθάσας με οἴκτειρον, καὶ ἀνάγαγε τὴν ζωήν μου ἐκ φθορᾶς.

Ἀπὸ γαστρὸς ἀβύσσου τῶν ὀφλημάτων μου Σωτὴρ, ἐξάγαγε τὸ πνεῦμά μου, ὡς πάλαι τὸν Ἰωνᾶν τῆς κητῴας γαστρὸς ὑπεξήγαγες, ἵνα ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, τὴν σὴν αἰνέσω ἀγαθότητα.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ ἀπέστειλε τὸν Σωτῆρα τοῦ κόσμου, καὶ ἐῤῥύσατο ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἐκ τοῦ βυθοῦ με ἀνάγαγε, ὁ Ἰωνᾶς σοι ἐβόησε, τύπος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ταφῆς, καὶ ἀναστάσεως ὑπάρχων· ἣν ἡμῖν ἐδωρήσω παντοδύναμε Σωτήρ.

Ἰλιγγιάσας ξένῳ καταδύματι, ὁ Προφήτης Ἰωνᾶς πρὸς κῆτος βαίνων βύθιον· ὡς ἐκ τάφου γὰρ τὴν πρόοδον εἰσδὺς, αὖθις ἀνεβόησεν· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, Κύριε δέομαι, καὶ σῶσόν με.

Προτυπῶν σου τὴν Ταφὴν, τὸν Σταυρὸν, καὶ τὸ Πάθος ὁ Ἰωνᾶς, ἐν τῇ κοιλίᾳ τοῦ κήτους, Σῶτερ τριημερεύσας, ἀνέκραγεν· Ἀναβήτω ἡ ζωή μου, καὶ ἔλθοι ἡ προσευχή μου εἰς ναόν σου τὸν θεῖον, ὦ Κύριε τοῦ ἐλέους

Τὴν ἐκ βάθους καρδίας, μὴ παρίδῃς δέησιν τῶν ἱκετῶν σου Κύριε· ἀλλ' ὡς τὸν Προφήτην Ἰωνᾶν, τοῦ κήτους ἐκ γαστρὸς ὑπεξήγαγες, καὶ ἡμᾶς τοῦ νοητοῦ θηρὸς, καὶ ψυχοφθόρου διάσωσον.

Τὸν εἰς βάθη καταντήσαντα τῆς θαλάσσης, καὶ τριημερεύσαντα ἐν κητῴοις στέρνοις, ποντίου θηρὸς πάλαι Ἰωνᾶν, μιμούμενος κράζω σοι, Σωτήρ μου βοῶντα· Ἀνάγαγέ με ἐξ ᾅδου κατωτάτου, ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

## ΩΔΗ Ζ'.

### ΤΩΝ ΦΩΤΩΝ.

Νέους εὐσεβεῖς, καμίνῳ πυρὸς προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου Ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας,
Ὁ τῆς καμίνου τὴν μετάρσιον φλόγα,
Νέους φέρουσαν εὐσεβεῖς κατευνάσας.
Τὴν δυσκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίας
Ὅλην πλύνει δὲ, τῇ δρόσῳ τοῦ Πνεύματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΔΙΑΦΟΡΟΙ.

Ἀντίθεον πρόσταγμα παρανομοῦντος, τυράννου μετάρσιον, τὴν φλόγα ἀνεῤῥίπισε· Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι Παισὶ, δρόσον τὴν τοῦ Πνεύματος ὁ ὢν, εὐλογημένος καὶ ὑπερένδοξος.

Βάτος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος Χαλδαϊκὴ σαφῶς προγράφει σε Θεόνυμφε· τὸ γὰρ θεῖον ἄϋλον, ἐν ὑλικῇ γαστρὶ, πῦρ ἀφλέκτως ἐδέξω· διὸ τῷ ἐκ σοῦ τεχθέντι ψάλλομεν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεηρᾶ λατρευομένης, οἱ τρεῖς σου Παῖδες κατεφρόνησαν, ἀθεωτάτου προστάγματος· μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τὴν κάμινον πάλαι, τὴν παφλάζουσαν σβέσας, καὶ τοὺς Παῖδας τῷ ὄμβρῳ, τοῦ Πνεύματος δροσίσας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥήτορες ἀνεδείχθησαν Παῖδες, φιλοσοφώτατοι ποτέ· ἐκ θεολήπτου ψυχῆς γὰρ, θεολογοῦντες χείλεσιν ἔμελπον· Ὁ ὑπέρθεος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τὰ Χερουβὶμ μιμούμενοι, Παῖδες ἐν τῇ καμίνῳ, ἐχόρευον βοῶντες· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες, ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν, ὁ ὑπερύμνητος καὶ δεδοξασμένος, εἰς πάντας τοὺς αἰῶνας.

Ἐν καμίνῳ φλογὸς, Νεανίαι τρεῖς ἐμβληθέντες, χορείαν συγκροτήσαντες, ὡς ἐν ἀφθάρτῳ λειμῶνι Χριστῷ συνευωχούμενοι, ἐβόων ψάλλοντες· Ὁ τῶν Πατέρων Θεὸς, ἐν τῷ ναῷ σου εὐλογητὸς εἶ.

Ἔργον ὃ εἰργάσω, ἐξ ἡμερῶν αἰῶνος, τετέλεκας Παμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βασιλεῦ, τῶν Πατέρων ὁ Θεός, τῇ ἐνδόξῳ Ἀναστάσει σου.

Θεοσεβεῖς Παῖδες, τὴν Σιὼν αἰχμάλωτοι, ἐν Βαβυλῶνι προκρίναντες, καὶ καμίνου μέσον ἐμβληθέντες, παγκόσμιον χορείαν ἤγειραν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἵνα τὸν παράδοξόν σου τόκον Χριστὲ, τὸν ἐκ τῆς Παρθένου προτυπώσῃς ἐμφανῶς, ἀκαταφλέκτους ἐν καμίνῳ Παῖδας διεφύλαξας, ἐν ὕμνοις μελῳδοῦντάς σοι· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Οἱ εὐσεβείας ἐρασταὶ, Παῖδες ἐν Βαβυλῶνι, εἰκόνι τῇ χρυσῇ μὴ λατρεύσαντες, ἐν τῇ καμίνῳ τοῦ πυρὸς χαίροντες ἀπηυτομόλησαν, καὶ τὴν φλόγα εἰς δρόσον ἤνεγκαν, ἐπιλάμψει Θεοῦ μελῳδοῦντες· Ὁ τῶν Πατέρων Θεὸς, ἐν τῷ ναῷ σου εὐλογητὸς εἶ.

Τῆς τρισσοφαοῦς Τριάδος ἰσάριθμοι Παῖδες, οἱ ἐξ Ἱερουσαλὴμ ἐν Βαβυλῶνι, βασιλέως ἀσεβοῦς κατεπάτησαν δόγμα, καὶ εἰς πῦρ ἐμβληθέντες, ἐχόρευον λέγοντες· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τρεῖς Παῖδες ἐν καμίνῳ τὴν Τριάδα τυπώσαντες, βασιλέα Κύριον ἐκήρυξαν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν βοῶντες· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπερκειμένῳ θαύματι ἐν Βαβυλῶνι, Παῖδες τῆς πατρῴας ἐμφανῶς, εὕραντο δόξης συνηγορίαν, ἐν καμίνῳ πυρπολούμενοι, καὶ δροσοβόλοις αὔραις ἐνηδόμενοι, συμφώνως ἀνέμελπον· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΤΩΝ ΦΩΤΩΝ.

Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ῥείθροις ἔμελλεν, ἄϋλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκὶ, βαπτιζόμενον τὸν Κτίστην· ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται·
Υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι.
Μόνος στενάζει τοῦ σκότους ὁ προστάτης.
Νῦν εὐλογείτω συντόνως τὸν αἴτιον,
Ἡ πρὶν τάλαινα τῶν ἐθνῶν παγκληρία.

ΔΙΑΦΟΡΟΙ.

Ἐν τῇ καμίνῳ τῇ τῶν Παίδων, προαπεικόνισας ποτὲ, τὴν σὴν Μητέρα Κύριε· ὁ γὰρ τύπος τούτους πυρὸς ἐξείλετο, ἀφλέκτως ἐμβατεύοντας· ἣν ὑμνοῦμεν ἐμφανισθεῖσαν διὰ σοῦ τοῖς πέρασι σήμερον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἔφριξε Παίδων εὐαγῶν, τὸ ὁμόσολον ψυχῆς ἄσπιλον σῶμα· καὶ εἶξε τὸ τραφὲν, ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ· ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπετο· Τὸν Κύριον, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἰνδάλματος χρυσοῦ, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ εἰκόνα τεθεαμένοι, μέσον τοῦ πυρὸς ἀνέμελπον· Ἡ σὺσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς τοὺς αἰῶνας.

Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Ῥῆμα Τυράννου, ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος, ἐξεκαύθη ποτέ· ἐν ᾗ Παῖδες οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα, ἀλλ' ἐβόων· Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἀρρήτῳ σοφίᾳ, συστησάμενον τὰ πάντα Θεὸν Λόγον, καὶ ἐκ μὴ ὄντων, εἰς τὸ εἶναι παραγαγόντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐλογεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς Παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον, μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει, προτυπώσαντα ποτὲ, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν φωναῖς ἀγγελικαῖς, ἐν οὐρανοῖς δοξαζόμενον Θεὸν, αἰνέσωμεν ἅπαντες οἱ γηγενεῖς, εἰς τοὺς αἰῶνας ἅπαντας.

Τὸν πάλαι δροσίσαντα τῶν Ἑβραίων τοὺς Παῖδας ἐν φλογὶ, καὶ φλέξαντα Κύριον, τοὺς Χαλδαίους παραδόξως ἐν αὐτῇ, ἀνυμνήσωμεν λέγοντες· Εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τῷ δόγματι τῷ τυραννικῷ, οἱ ὅσιοι τρεῖς Παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλλοντες· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Ἀγάλματος χρυσοτεύκτου, ἐν πεδίῳ Δεηρᾶ ὀργάνων μούσαις λατρευομένου, καὶ Θεοῦ τοῦ πάντων πλαστουργοῦ παρορωμένου, οἱ Σιωνῖται Παῖδες οὐχ ὑπήκουσαν δόγματι παρανόμῳ· ἀλλ' ὑπέδειξαν τῇ κτίσει κάμινον δροσοβολοῦσαν, τύραννον θεολογοῦντα, λαὸν ὑπερυψοῦντα, τὸν μόνον Θεὸν τοῦ παντὸς, εἰς πάντας τοὺς αἰῶνας.

Ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν, ἄνθρωποι ἀεὶ δοξολογοῦσι, καὶ πᾶσα κτίσις εὐλογεῖ τὸν Κύριον.

Ἀδιαίρετοι τῆς Τριάδος Παῖδες γεγόνασι, τὸ κάλλος τῆς εἰκόνος μὴ προσιέμενοι, ψυχόλεθρον ἀπάτην ἀποκρουσάμενοι, οὐρανόθεν δροσισθέντες ἐβόων Χριστῷ τὸν ὕμνον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν, ὑπερυψοῦμεν, ὑμνοῦμεν τὸ ὄνομά σου Χριστέ· σὺ γὰρ Βασιλεὺς, εἰς πάντας τοὺς αἰῶνας.

Δόγμα παράνομον, οἱ γενναῖοι Παῖδες κατεφρόνησαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μουσικῶν ὀργάνων ἠχὴν οὐχ εἵλοντο, ἀλλ' ἐν καμίνῳ δροσιζόμενοι, εὐχαρίστως ἔψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίȣ τὸν Κύριον.

Ἐδρόσισεν ὁ Ἄγγελος τὴν κάμινον τῶν Παίδων, ἐκύλισε τὸν λίθον ἐκ τῆς θύρας τȣ̃ μνημείȣ. καὶ γυναιξὶ Μυροφόροις εὐηγγελίζετο λέγων· Ἀνέστη ὁ Κύριος, καθὼς προέφησεν ὑμῖν· σπεύσατε βοήσατε τοῖς θείοις Μαθηταῖς αὐτȣ̃, ὅτι προάγει ἡμᾶς εἰς τὴν Γαλιλαίαν, ὁ βασιλεύων εἰς πάντας τοὺς αἰῶνας.

Καταρχὰς Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σȣ εἰσὶν οἱ ȣ̓ρανοί· ἀνυμνεῖ πᾶσα κτίσις, καὶ δοξολογεῖ, ἐνεργείας λόγῳ, εἰς πάντας τȣ̀ς αἰῶνας.

Λαμπαδηφόροι τῇ ψυχῇ, καὶ λαμπροὶ ὑπὲρ χιόνα, ὑπερλάμποντες οἱ ὅσιοι Παῖδες, μέσον τῆς φλογὸς ȣ̓κ ἐφλέχθησαν· πάντες γὰρ ὁμοῦ, ὅσα ὑπὸ ποίησιν ἑαυτοῖς συγκαλούμενοι πρὸς θεῖον ὕμνον, ἐν ἀγαλλιάσει ἔμελπον· Ὑμνεῖτε τὰ ἔργα Κυρίȣ τὸν Κύριον.

Παῖδες εὐλογεῖτε τὸν συγκαταβάντα θείᾳ βȣλῇ· Ἱερεῖς δοξολογεῖτε Χριστὸν εἰς τȣ̀ς αἰῶνας.

Τὸν δι' Ἀγγέλου τεχθέντα ἐκ τῆς Θεοτόκȣ, Παῖδες ὑπερυψοῦτε Χριστὸν, τὸν Θεὸν ἡμῶν εἰς τȣ̀ς αἰῶνας.

Τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόντα, λόγῳ τὰ πάντα, ὑπερυψȣ̃τε εἰς πάντας τȣ̀ς αἰῶνας.

Ὡραιόψυχοι Παῖδες, ἐν τῇ καμίνῳ βληθέντες, κράτος ἦραν αἰώνιον, Θεὸν ὁμολογȣ̃ντες τὸν ȣ̓ράνιον, καὶ Τυράννȣ ᾔσχυναν δόγμα, προτείναντες μελῳδίαν· Εὐλογεῖτε, πᾶσα πνοὴ καὶ κτίσις, τὸν ἐπὶ πάντων Βασιλέα, εἰς πάντας τȣ̀ς αἰῶνας.

## ΩΔΗ Θ'.

### ΤΩΝ ΦΩΤΩΝ.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὢ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου θαυμάτων!
Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη.
Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας,
Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ,
Δῶρον φέροντες, ὕμνον εὐχαριστίας.

## ΔΙΑΦΟΡΟΙ.

Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. Διὸ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Ἐμεγάλυνας Χριστὲ, τὴν τεκοῦσάν σε Θεοτόκον, ἀφ' ἧς ὁ Πλάστης ἡμῶν, ὁμοιοπαθὲς περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων· ταύτην μακαρίζοντες, πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

Ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Ἡ τὸν ἀχώρητον Θεὸν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, παναγία Παρθένε.

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν, ἀφράστως σωματώσασα, εὐλορημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Ὅλος ὑπάρχεις ἔφεσις, ὅλος γλυκασμὸς, Λόγε Θεοῦ, Παρθένου Υἱὲ, Θεὲ Θεῶν, Κύριε, Ἁγίων ὑπεράγιε· διό σε ἅπαντες, σὺν τῇ Τεκούσῃ μεγαλύνομεν.

Σὲ τὴν νοητὴν, καὶ ἔμψυχον κλίμακα, ἐν ᾗ ὁ Θεὸς ἡμῶν ἐπεστήρικτο, δι' ἧς τὴν πρὸς οὐρανὸν εὑρήκαμεν ἄνοδον, ὕμνοις Θεοτόκε μεγαλύνομεν.

Τὴν ἁγνὴν καὶ ἄχραντον, Μητέρα καὶ παρθένον, ᾠδαῖς ᾀσμάτων ἅπαντες οἱ πιστοὶ, εὐσεβῶς ὡς Θεοτόκον μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὴν παρθενίαν σου, Θεοτόκε ἀμίαντε, ἣν οὐ κατέφλεξε, τὸ πῦρ τῆς Θεότητος, μεγαλύνομεν.

Τὴν ὑπερφυῶς σαρκὶ, συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ Πατρὸς ἀχρόνως, προεκλάμψαντα Λόγον, ἐν ὕμνοις ἀσιγήτοις, μεγαλύνωμεν πιστοί.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς, ἐξ ἁγίας Παρθένου, ἀφράστως σαρκωθέντα δι' ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνομεν.

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον; ἢ τίς ἑώρακε ποτὲ, ὅτι Παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἀνωδίνως τὸ βρέφος ἀποτεκοῦσα; τοιοῦτόν σου τὸ θαῦμα· καὶ σὲ ἁγνὴ Θεοκυῆτορ, Μαρία μεγαλύνομεν.

Ψυχαῖς καθαραῖς, καὶ ἀῤῥυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουὴλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς, προσφέροντες πρεσβείαν τεχθέντι· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἀγλαόμορφε Κόρη, ἠγλαϊσμένη, παντευλόγητε Βασίλισσα, χρυσῷ καθαρῷ κεκοσμημένη. ἡ τεκοῦσα τὸν παντάνακτα Θεὸν ἡμῶν, ἡ γέφυρα τῶν πιστῶν, καὶ προστάτις, σὲ μεγαλύνομεν.

Ἐμεγαλύνθη τῶν πιστῶν λαῶν ἡ Ἐκκλησία, ὅτι ὁ Κτίστης τῶν ἁπάντων ἐν αὐτῇ κατοικῶν, καινοποιεῖ πρὸς ζωήν.

Ἐποίησε μετὰ σοῦ μεγαλεῖα Ἄχραντε, ὁ τῶν ἁπάντων Ποιητὴς τεχθεὶς ἐκ σοῦ, καὶ πάλιν σῴαν ἀναδείξας τὴν σὴν γαστέρα Πανύμνητε· διὸ ἀπαύστως σὲ Θεοτόκε, βροτῶν τὸ γένος μεγαλύνομεν.

Ἡ ἀμνὰς ἡ ἄσπιλος, ἡ Μήτηρ καὶ Παρθένος, παρισταμένη τῷ Σταυρῷ, τοῦ Ἀμνοῦ καὶ Λυτρωτοῦ, σὺν δάκρυσι θρηνῳδοῦσα ἐβόα· Οἴμοι γλυκύτατε Υἱέ μου! τοιαῦτά μοι τῆς χαρᾶς τὰ εὐαγγέλια, ὁ τόκος ὁ ἀπόῤῥητος, τῶν Μάγων ἡ προσκύνησις, τῶν Ποιμένων τὸ θαῦμα;

Οἴμοι Τέκνον ἀναρτώμενον ἐπὶ Σταυρῦ, ἀνάστηθι καθὼς εἶπας τριήμερος, ἵνα δοξασθήσωμαι ἐν τῇ ἀναστάσει σῦ.

Ἡ μήτρα σῦ ἁγνὴ, Θεοτόκε Παρθένε, ὑράνιον ὄμβρον τῷ κόσμῳ ἔσταξε, ζωὴν ἐπανατέλλοντα αἰώνιον, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ, εἰς νομὴν Παραδείσυ εἰσῴκισεν· διὸ σε μόνην ἐν γυναιξὶ, Μητέρα χρηματίσασαν τοῦ Ἐμμανουὴλ, πᾶσαι αἱ γενεαὶ μεγαλύνομεν.

Θαῦμα παράδοξον, καὶ μυστήριον ξένον! ἡ σύλληψις ὑπερφυὴς, ὁ τόκος ἀνερμήνευτος· Ἀγγέλων τὰ στρατεύματα, καὶ τῶν βροτῶν τὰ πλήθη, ἐν ᾠδαῖς ἀκαταπαύστοις μεγαλύνομεν.

Μεγαλύνομεν πάντες, τῶν Ἀθλοφόρων τὴν μνήμην, τῶν δι' ὕδατος καὶ πυρὸς διελθόντων, καὶ Χριστῷ πρεσβευόντων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μεγαλύνομέν σε τὴν φωτοφόρον νεφέλην, καὶ νοερὰν κιβωτόν· σὺ γὰρ ὑπὲρ λόγον ἐκύησας Χριστὸν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Μεγαλύνομέν σῦ τὸν τόκον Κόρη ἀμίαντε, οἱ διὰ σῦ τῷ Θεῷ ἑνωθέντες, καὶ βοῶμέν σοι Μαρία θεόνυμφε· Χαῖρε πάντων ἡ ἀνάκλησις, τῶν ἐξ ἀρχαίας κατάρας θανατωθέντων, διὰ τῆς σῆς ἀγεωργήτου κυοφορίας.

Παράδοξον ἄκουσμα, καὶ μυστήριον ξένον, ἐν σοὶ ἀπετελέσθη, πανάχραντε Θεοτόκε, σύλληψις ἄνευ σπορᾶς, καὶ παρθενία μετὰ γέννησιν. Ἀλλ' ὦ Δέσποινα παντάνασσα, σῶζε ὡς ἀγαθὴ, ἡμᾶς τὺς πίστει ἀδιστάκτῳ, προσκυνῦντας τὸν τόκον σου, καὶ μεγαλύνοντας.

Τί τὸ περὶ σὲ μέγα καὶ σεβάσμιον μυστήριον, ἡ τοῦ Ἀδὰμ θυγάτηρ, καὶ τῦ ὑψίστου Μήτηρ, ἡ μόνη πρὸς Θεὸν ἀπλανὴς τῶν πιστῶν γέφυρα; σὲ ἀσιγήτοις ὕμνοις, οἱ πιστοὶ ὡς Θεοτόκον μεγαλύνομεν.

Ὑπὲρ πᾶσαν ἔννοιαν, λόγῳ τὸν Λόγον τοῦ Πατρὸς, Παρθενομῆτορ ἄχραντε συλλαβοῦσα, ἀφράστῳ τρόπῳ, διπλοῦν αὐτὸν τέτοκας· Θεὸς καὶ ἄνθρωπος γὰρ ὑπάρχει ὁ σαρκωθεὶς. Διό σε πάντες μεγαλύνομεν.

Χαίροις Παντάνασσα, τῶν γηγενῶν τὸ καύχημα, ἡ ἐπ' ἐσχάτων ἡμερῶν, τὴν σωτηρίαν ἡμῶν κυήσασα, ἵνα τῆς ἀρχαίας κατάρας, τῶν ἀνθρώπων τὸ γένος ἐλευθερώσῃ· διὸ πάντες ἀσιγήτως σὲ μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ Γ'.

## ΩΔΗ Α'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

ΔΙΑΦΟΡΟΙ.

Ἆσμα καινὸν ᾄσωμεν λαοὶ, τῷ ἐκ Παρθένου τεχθέντι εἰς σωτηρίαν ἡμῶν, καὶ ἑνοποιήσαντι, τοῖς ἐπουρανίοις τὰ ἐπίγεια, ὅτι δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι θαυμαστὰ τέρατα, ἐν ἐρυθρᾷ θαλάσσῃ· πόντῳ γὰρ ἐκάλυψε τοὺς ὑπεναντίους, καὶ ἔσωσε τὸν Ἰσραήλ· αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα, σὺ εἶ ὁ Θεὸς, ὁ ἄβυσσον γεώσας, καὶ ἅρματα καλύψας, καὶ λαὸν διασώσας, ᾄδοντά σοι ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

Ὁ τὰ ὕδατα πάλαι, νεύματι θείῳ εἰς μίαν, συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν, Ἰσραηλίτῃ λαῷ, οὗτος ὁ Θεὸς ἡμῶν, δεδοξασμένος ὑπάρχει· αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τεμνομένην θάλασσαν, ῥάβδῳ πάλαι ὁ Ἰσραὴλ, διῆλθεν ὡς ἐν ἐρήμῳ, καὶ σταυροτύπως ἐμφανῶς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσδοποιεῖ τρίβον· διὰ τοῦτο ᾄσωμεν ἐν αἰνέσει, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Φαραὼ τὰ ἅρματα, βυθῷ καλύψας Κύριε, τὴν θάλασσαν διέῤῥηξας, καὶ ἔσωσας ᾄσμασι, τὸν ὑμνοῦντά σε, λαὸν Ἰσραηλίτην.

Τῷ διασώσαντι ἐν θαλάσσῃ λαὸν, καὶ βυθίσαντι τοὺς ὑπεναντίους, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ διασώσαντι Θεῷ ἐν θαλάσσῃ λαὸν, βυθίσαντι δὲ τοὺς ὑπεναντίους, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας, καὶ Φαραὼ βυθίσαντι ἐν τῇ θαλάσσῃ, ᾄσωμεν τῷ Σωτῆρι Χριστῷ, ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Χερσώσας θάλασσαν ῥάβδῳ, διὰ Μωσέως ἐρυθρὰν, χερσὶ Πρεσβύτου σήμερον, ἀγκαλίζεται Θεὸς, ὁ ἀμήτωρ ἐκ Πατρὸς, ἐπ' ἐσχάτων δὲ ἑκὼν ὑπὸ Μητρὸς βαστάζεται.

## ΩΔΗ Β΄.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, ὁ Σωτὴρ τοῦ κόσμου, τὸ φῶς τὸ ἀληθινὸν, ἡ πηγὴ τῆς ζωῆς, ὁ Υἱὸς τοῦ Θεοῦ.

Πρόσεχε γῆ καὶ οὐρανὲ, καὶ ἐνωτίζου τὰ ῥήματά μου· λαλήσω γὰρ τοῖς ἐν γῇ, Θεοῦ θαυμάσια. (1)

## ΩΔΗ Γ΄.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵματι.

(1) Ἐν τῷ Τριῳδίῳ, τῇ Τρίτῃ τῆς Τυρινῆς, ἀπαντᾶται ἡ δευτέρα Ὠδὴ πρὸς Εἱρμὸν, Ὡς ὄμβρος ἐπ' ἄγρωστιν, ὅστις οὐδαμοῦ εὑρίσκεται ὁλόγραφος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΔΙΑΦΟΡΟΙ.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ, ὅτι οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν, τῷ Λόγῳ κτιζόμενα, τελειούμενα Πνεύματι, παντοκράτορ (1) Δέσποτα, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Στεῖρα ψυχὴ καὶ ἄγονε, κτῆσαι καρπὸν εὐκλεῆ, εὐτεκνουμένη βόησον· Ἐστερεώθην διὰ σοῦ ὁ Θεός· οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Στερέωσον Κύριε, τὰς καρδίας ἡμῶν, καὶ φώτισον εἰς τὴν σὴν ὑμνῳδίαν, τοῦ δοξάζειν σε Σωτὴρ, εἰς αἰῶνας αἰώνων.

Τόξον ἔθραυσας ἐχθρῶν, καὶ θυρεοὺς συνέτριψας ἐν ἰσχύϊ, Δέσποτα Χριστὲ, τὸ στερέωμα ἡμῶν· ἅγιος εἶ Κύριε.

Στερεώθητι ψυχὴ, ἐν Κυρίῳ τῷ Θεῷ, καὶ βόα καυχωμένη· Οὐκ ἔστιν ἅγιος πλὴν σου Κύριε.

Στηριγμὸν καὶ ἱλασμὸν, παράσχου ἡμῖν Υἱὲ τοῦ Θεοῦ, καὶ σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

## ΩΔΗ Δ'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προελθὼν, τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρὸς, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

(1) Ἐν ἄλλοις κεῖται Παντοκράτορ ὕψιστε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΔΙΑΦΟΡΟΙ.

Ἔθου πρὸς ἡμᾶς, κραταιὰν ἀγάπησιν Κύριε· τὸν μονογενῆ γάρ σου Υἱὸν, ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας· διό σοι κραυγάζομεν εὐχαριστοῦντες· Δόξα τῇ δυνάμει σου.

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Μὴ ἐν ποταμοῖς, ὀργισθῇς Κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου.

Τὸ κατάσκιον ὄρος, ὁ Ἀββακοὺμ προεώρα, τὴν ἄχραντόν σου μήτραν Ἁγνή· διὸ καὶ ἀνεκραύγαζεν· Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεὸς, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Τὸ ξένον καὶ ἀπόρρητον τοῦ τόκου σου μυστήριον, εἰσακήκοα καὶ ἐφοβήθην, καὶ γεγηθὼς κραυγάζω σοι· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, τὰ ἔργα σου κατενόησα, καὶ ἐξέστην, ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων, ἐκ Παρθένου ἐτέχθης γενόμενος ἄνθρωπος.

Ὄρος κατάσκιον ἐδείχθη, ἡ μήτρα τῆς Παρθένου· στάμνος καὶ τράπεζα ὑπάρχει, ἡ Μήτηρ τοῦ Κυρίου· ἐξ αὐτῆς γὰρ προῆλθεν ἐμφανῶς, καὶ Συμεὼν ἀγκάλαις ὑπεδέξατο. Δόξα τῇ δυνάμει σου Κύριε.

Τί ἐξέστης Ἀββακούμ; τίνι κράζεις, καὶ βοᾷς· Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός; ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ· ἐν αἰνέσει τῷ θαυμαστῷ ἡμῶν Θεῷ βοήσωμεν, ὅτι δεδόξασαι.

## ΩΔΗ Ε'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεὸν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, Ὢ τάλας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐβόα ἐγώ· πρὸ γὰρ εἶδον σωματούμενον Θεὸν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

### ΔΙΑΦΟΡΟΙ.

Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης, καὶ τοῖς βροτοῖς ἑκὼν συνανεστράφης, ὁ ἀκατάληπτος· καὶ πρὸς σὲ ὀρθρίζοντες, ἀνυμνοῦμέν σε Φιλάνθρωπε.

Ὀρθρίζοντες ἀνυμνοῦμέν σε Λόγε, Υἱὲ Θεοῦ μονογενές· τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, καὶ πιστῶς προσκυνοῦντας.

Πρὸς σὲ ὀρθρίζω, τὸν τοῦ παντὸς Δημιουργὸν, τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην· διότι φῶς τὰ προστάγματά σου, ἐν οἷς με καθοδήγησον.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν Υἱὲ τοῦ Θεοῦ, ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν, τὸν ἐν ὑψίστοις σὺν Πατρὶ καὶ Πνεύματι δοξολογούμενον.

Φωτὶ τῷ ἀνεσπέρῳ σου Χριστὲ, τὴν ταπεινήν μου ψυχὴν καταύγασον, καὶ ὁδήγησον εἰς τὸν φόβον σου· διότι φῶς τὰ προστάγματά σου.

Πρὸς σὲ ὀρθρίζω, τὸν ἐκ Πατρὸς πρὸ ἑωσφόρου, ἐκλάμψαντα τῷ κόσμῳ ὄρθρον· ἐσκοτισμένον τοῖς πλημμελήμασι, Σωτὴρ προφθάσας, καταύγασόν με ὁ Θεός.

Τῆς ψυχῆς μου τὴν ἀχλὺν διασκεδάσας ἐν τῷ φωτί σου Χριστὲ, δέξαι με μόνε εὔσπλαγχνε, ἐκ νυκτὸς σοι κραυγάζοντα, καὶ καταύγασόν μου τὴν διάνοιαν.

Τὸν ἐν σκότει ὑπνοῦντα διανάστησον Εὐεργέτα, καὶ τῆς ψυχῆς μου τὴν ἀχλὺν φωταγώγησον, τῷ φωτὶ τοῦ προσώπου σου φιλάνθρωπε, καὶ τὴν σὴν εἰρήνην παράσχου μοι, ὡς ποτὲ τῷ Πρεσβύτῃ ἀναλλοίωτε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Ϛ'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη, ἐκ Θεοῦ, Χριστὲ σὺ Θεός μου.

### ΔΙΑΦΟΡΟΙ.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ πνεῦμά μου· ἀλλ' ἐκτείνας Δέσποτα, σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με, Κυβερνῆτα διάσωσον.

Ἀνάγαγε ἐκ φθορᾶς με Κύριε ὁ Θεός μου, ὁ Ἰωνᾶς ἐβόα· κἀγὼ βοῶ σοι· Ἐκ τοῦ βυθοῦ ῥῦσαί με Σωτὴρ, τῶν πολλῶν μου κακῶν, καὶ πρὸς τὸ φῶς τὸ σὸν, δέομαι καθοδήγησον.

Βυθός μοι τῶν παθῶν ἐπανέστη, καὶ ζάλη ἐναντίων ἀνέμων· ἀλλὰ προφθάσας με σὺ, σῶσον Σωτὴρ, καὶ ῥῦσαι φθορᾶς, ὡς ἔσωσας τοῦ θηρὸς τὸν Προφήτην.

Ἐβόησα ἐν στεναγμοῖς ἀσιγήτοις, πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Σκηνώσεως Ἰωνᾶς, τῆς ἐν κατωτάτῳ ᾅδου, τῆς φύσεως σύμβολον γεγονὼς, ἐβόα· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Φιλάνθρωπε.

Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων, καταντήσαντας φιλάνθρωπε, καὶ τρικυμίαις πειρασμῶν, ἀπολέσθαι κινδυνεύοντας, βοῶντας μὴ παρίδῃς· Σῶσον Σωτὴρ, ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.

Βυθός μοι ἐπανέστη Σωτὴρ ἁμαρτημάτων, καὶ ζάλη ἀπογνώσεως· ὅθεν πιστῶς βοῶ σοι· Ὡς ἐκ τοῦ κήτους Ἰω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναῦ, ἀνάγαγέ με τὴν ζωὴν ἐκ φθορᾶς, ὁ δι' ἐμὲ νηπιάσας, καὶ ἐν ἀγκάλαις Συμεὼν, σήμερον τῷ ναῷ προσαχθείς.

## ΩΔΗ Ζ'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

### ΔΙΑΦΟΡΟΙ.

Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου, καὶ τοὺς Παῖδας ἀφλέκτους διασώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Σοβαρὸς ὁ τύραννος, ἀλλὰ Παίδων γέγονεν ἄθυρμα· ὥσπερ γὰρ χοῦν πατήσαντες, τὴν ἑπταπλάσιον φλόγα, ἔψαλλον· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ, Περσικῷ σεβάσματι, Παῖδες οὐ προσεκύνησαν, τρεῖς ὑμνοῦντες ἐν μέσῳ τῆς καμίνου· Τῶν Πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Τρεῖς Παῖδες ἐν καμίνῳ, τὴν Τριάδα τυπώσαντες, τοῦ πυρὸς τὴν ἀπειλὴν κατεπάτησαν, καὶ ὑμνοῦντες ἐβόων· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς πάλαι τοὺς εὐσεβεῖς, τρεῖς Παῖδας ἐδρόσισας, ἐν τῇ φλογὶ τῇ Χαλδαϊκῇ, τῷ φωτιστικῷ τῆς Θεότητος πυρὶ, καὶ ἡμᾶς καταύγασον, Εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Κάμινος καιομένη, οὐχ εὑρέθη δροσίζουσα, εἰμὴ ἡ Βαβυλώνιος· ἄνανδρος ἄλλη Μήτηρ, καὶ Παρθένος οὐχ ἐ-**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φάνη· ἡ μὲν Παῖδας διεφύλαξεν ἀφλέκτους, αὕτη δὲ διέφερεν ἀγκάλαις, ὃν ἀνυμνοῦντες λέγομεν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν ἐν καμίνῳ φλόγα, κατέσβεσαν οἱ Παῖδες, καὶ τὴν οὐράνιον δρόσον ἐδέξαντο τῇ πίστει. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς χρυσὸς ἐν χωνευτηρίῳ, οἱ Παῖδες ἐδοκιμάζοντο ἐν καμίνῳ, καὶ ἀνεδείχθησαν φαιδροὶ, οὐκ ἐν τῷ χωνεύεσθαι, ἀλλ' ἐν τῷ φυλάττεσθαι· οὐκ ἐν τῷ φλογίζεσθαι, ἀλλ' ἐν τῷ ψάλλειν ἀπαύστως· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### ΔΙΑΦΟΡΟΙ.

Βαβυλωνία κάμινος, τοὺς Παῖδας οὐκ ἔφλεξεν, οὐδὲ τῆς Θεότητος τὸ πῦρ, τὴν Παρθένον διέφθειρε· διὸ μετὰ τῶν Παίδων πιστοὶ βοήσωμεν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐνύλου φλόγα πυρὸς, δι' ἀΰλου κατεμάραναν, θεοφορούμενοι Παῖδες, καὶ ἔψαλλον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Λατρεύειν ζῶντι Θεῷ, οἱ ἐν Βαβυλῶνι Παῖδες προσκαρτερήσαντες, μουσικῶν ὀργάνων κατεφρόνησαν, καὶ φλογὸς μέσον ἑστῶτες, θεοτερπῆ ὕμνον ἀναμέλποντες ἔλεγον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν ἐν φλογὶ, τοῖς Παισὶ τῶν Ἑβραίων, συγκαταβάντα, θεϊκῇ δυναστείᾳ, καὶ ὀφθέντα Κύριον, ἱερεῖς εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς, γεννηθέντα πρὸ αἰώνων Θεὸν, καὶ ἐπ' ἐσχάτων ἐκ τῆς Θεοτόκου, σάρκα ἐνδυσάμενον, ὡς τέλειον ἄνθρωπον, καὶ Θεὸν ἀληθινὸν, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ὑπ' Ἀγγέλων ἀσιγήτως, ἐν ὑψίστοις δοξαζόμενον, οἱ οὐρανοὶ τῶν οὐρανῶν, γῆ καὶ ὄρη καὶ βουνοὶ, καὶ βυθὸς, καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς Κτίστην, καὶ Λυτρωτὴν εὐλογεῖτε.

Τὸν ἐπὶ θρόνου Χερουβὶμ ἐποχούμενον, Ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν εὐεργέτην καὶ Θεὸν, καὶ λυτρωτὴν τοῦ παντὸς, καὶ ποιητὴν τοῦ σύμπαντος κόσμου, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν προσκυνούμενον ὑπὸ ἁγίων Ἀγγέλων, καὶ δοξαζόμενον ἀπαύστως, Ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἡ κάμινος πάλαι, δεξαμένη Παῖδας οὐκ ἔφλεξεν, οὕτω καὶ ἡ Παρθένος, συλλαβοῦσα τὸν Κτίστην, οὐκ ἐφλέχθη τὴν νηδύν· ὢ τοῦ θαύματος! ὁ ἀναλλοίωτος ὁρᾶται σαρκὶ, καὶ τῷ ναῷ προσάγεται· διὰ τοῦτο πίστει ὑμνοῦντες λέγομεν· Εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

## ΩΔΗ Θ'.

### ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ.

Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱὸν, πρωτοτοκούμενον Μητρὶ, ἀπειράνδρῳ μεγαλύνωμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΔΙΑΦΟΡΟΙ.

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος, συλλαβοῦσαν ἐν γαστρί· Δανιὴλ δέ σε εἶδεν, ὄρος ἀλατόμητον· ῥάβδον βλαστήσασαν, Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαυΐδ.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν, ἐν οἴκῳ Δαυΐδ τοῦ παιδὸς αὐτοῦ, διὰ σπλάγχνα ἐλέους· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπές· τῆς Παρθένου γὰρ τὴν κεκλεισμένην πύλην, σαφῶς διοδεύει Κύριος· γυμνὸς τῇ εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεός, καὶ μένει ἡ πύλη κεκλεισμένη· ταύτην ἀφράστως, ὡς Θεομήτορα μεγαλύνωμεν.

Οἱ τῷ γλυκεῖ τοῦ ἀχράντου σου Τόκου, βέλει τρωθέντες Ἁγνή, σοῦ τὸ ἀξιέραστον κάλλος θαυμάζοντες, ᾄσμασιν Ἀγγελικοῖς ἐπαξίως σε, ὡς Μητέρα Θεοῦ μεγαλύνομεν.

Σὲ τὴν ἀθάνατον πηγήν, τὴν δι' Ἁγίων ἰάματα, τῶν ἀνθρώπων τῷ γένει παρέχουσαν, Ἁγνὴ μεγαλύνομεν, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Σὲ τὴν ἀκατάφλεκτον Βάτον, καὶ ἁγίαν Παρθένον, τὴν Μητέρα τοῦ Φωτὸς καὶ Θεοτόκον, τὴν ἐλπίδα πάντων ἡμῶν μεγαλύνομεν.

Τὴν ἐν βάτῳ καὶ πυρί, προγραφεῖσαν ἐν Σινᾷ, τῷ νομοθέτῃ Μωσῇ, καὶ τὸ θεῖον ἐν γαστρί, ἀφλέκτως συλλαβοῦσαν πῦρ. τὴν ὁλόφωτον, καὶ ἄσβεστον λαμπάδα, τὴν (1) ὄντως Θεοτόκον, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

(1) Ἐν ἄλλοις κεῖται, « τὴν μόνην ».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἄχραντε Θεοτόκε Μήτηρ ἀνύμφευτε, δικαίως σὲ ὑμνοῦσι τὰ τάγματα τῶν Ἀγγέλων· καὶ ὁ πρεσβύτης Συμεὼν τὸν τόκον σου θεώμενος ἐκραύγαζε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα κατὰ τὸ ῥῆμα τὸ σόν· ὅπως σώσῃς Χριστὲ, τοὺς σὲ σὺν τῇ τεκούσῃ μεγαλύνοντας.

Κεχαριτωμένη χαῖρε, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ σὲ μεγαλύνομεν.

Σὲ ζωγραφοῦσα ἦν ἡ Ἀσσύριος φλὸξ, Παρθενομῆτορ Μαρία· τὸ πῦρ γὰρ τῆς Θεότητος ἐν μήτρᾳ σου οἰκῆσαν Ἁγνὴ, ἄφλεκτον ἐτήρησε τὴν πανάχραντον νηδύν σου· ὅθεν καὶ Χριστὸς ὑπὸ σοῦ, ἐν ναῷ ἁγίῳ ἀγκάλαις προσαχθεὶς ἡμᾶς ἀνεκαίνισε, μεγαλύνοντας τὸν τόκον σου.

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον, ἐν τῇ μνήμῃ τῶν Ἁγίων μεγαλύνομεν, ὡς τεκοῦσαν τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τὴν Μητέρα τοῦ φωτὸς, καὶ μετὰ τόκον Παρθένον, καὶ τῶν ψυχῶν ἡμῶν σωτηρίας λιμένα, οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕμνοις μεγαλύνομεν.

Τὸ ἀλατόμητον ὄρος, τὴν ἀκρότομον πέτραν, ἣν ἐθεάσατο Δανιὴλ ὁ Προφήτης, τὴν Θεοτόκον Μαρίαν ὕμνοις μεγαλύνομεν.

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ Δ'.

## ΩΔΗ Α'.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρὶ, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

### ΤΩΝ ΒΑΪΩΝ.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου, νοτίδος ἄμοιροι, καὶ ἀνεκαλύφθη θαλάσσης, κυμαινούσης τὰ θεμέλια· τῇ καταιγίδι νεύματι, ταύτης γὰρ ἐπετίμησας, περιούσιον λαὸν δὲ ἔσωσας, ᾄδοντα, ἐπινίκιον ὕμνον σοι Κύριε.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐῤῥητόρευσε τὸν θεόγραφον νόμον·
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος
Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

### ΔΙΑΦΟΡΟΙ.

Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ, ἔῤῥιψεν εἰς θάλασσαν, ὁ κραταιὸς ἐν πολέμοις· ᾄσωμεν αὐτῷ ᾆσμα καινὸν, ὅτι ἐνδόξως δεδόξασται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν, δουλείας Αἰγύπτου, ἐκάλυψας δὲ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν. (1)

Ἄσωμεν τῷ Κυρίῳ, τῷ παραδόξως βυθίσαντι τὸν Φαραὼ ἐν θαλάσσῃ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Ἔσχισας πέλαγος τὸ ἐρυθραῖον ὁ Θεὸς, τὸν Φαραὼ βυθίσας ἐν αὐτῷ, διαβιβάσας Μωϋσῆς ἀβρόχως ἐν ἐρήμῳ, καὶ ἐπομβρήσας τὸ μάννα, εἰς βρῶσιν τῷ λαῷ Ἰσραὴλ ὡς δυνατός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ, σταυροτύποις Μωσέως χερσὶ, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Ὁ πατάξας Αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον, βυθίσας ἐν θαλάσσῃ, λαὸν διέσωσας δουλείας, Μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Οὐκ ἔστι σοι ὅμοιος, δεδοξασμένε Κύριε· ἐν χειρὶ γὰρ κραταιᾷ, ἐλυτρώσω τὸν λαὸν, ὃν ἐκτήσω φιλάνθρωπε.

Τριστάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς, καταπόντισον δέομαι, ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Τῷ ὁδηγήσαντι πάλαι, τὸν Ἰσραὴλ φεύγοντα, ἐκ τῆς δουλείας Φαραὼ, καὶ ἐν ἐρήμῳ ἐκθρέψαντι, μελῴδημα ἐπινίκιον, ᾄσωμεν τῷ λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

Χοροὶ Ἰσραὴλ, ἀνίκμοις ποσὶ, πόντον ἐρυθρὸν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμε-

(1) Ὁ παρὼν Εἱρμὸς ἀπαντᾶται ἐνίοτε ἐν τισι Μηναίοις, φέρων Αἰγυπτίων ἀντὶ Αἰγύπτου, ὅπου τίθεται ἄνω στιγμή· ἀποβάλλει δὲ καὶ τὸν ἑπόμενον δέ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ἄσωμεν ᾆσμα καινὸν, τῷ Βασιλεῖ τῶν αἰώνων, ὅτι δεδόξασται.

Ἄσωμεν λαοὶ, τῷ θαυμαστῶς τερατυργήσαντι ἐν ἐρυθρᾷ θαλάσσῃ, Χριστῷ τῷ Θεῷ, ὅτι τὸν πάλαι Ἰσραὴλ πανοπλισθέντα, ἴχνεσι πεζοπορεῖν τὴν ἄβατον πεποίηκε, καὶ τὸν τῆς κακίας ἐργοδότην Φαραὼ, ἐν βυθῷ κατεπόντισε.

Ἄσωμεν ᾠδὴν ἐπινίκιον τῷ μόνῳ Θεῷ, τῷ ποιήσαντι παράδοξα· πάλαι γὰρ τὸν Φαραὼ, πανστρατιᾷ ἐν θαλάσσῃ ἐβύθισεν.

Ὁ παράδοξα ποιήσας τέρατα Κύριος, ἐν χειρὶ Μωσαϊκῇ, χερσὶ Πρεσβύτου σήμερον, ἀγκαλίζεται ὡς βρέφος ἐν τῷ ναῷ· αὐτῷ πιστῶς ἐκβοήσωμεν λαοὶ, ᾠδὴν ἐπινίκιον, ἐνδόξως γὰρ δεδόξασται.

Τῷ τερατυργήσαντι ὑψηλῷ βραχίονι, Θεῷ ἐν θαλάσσῃ ἐρυθρᾷ, τῇ Ἀγγελικῇ προοδοποιήσει, καὶ σώσαντι τὸν Ἰσραὴλ ἐν τῷ τέρματι ἀβύσσου, καὶ τῶν ἱππηλατούντων δύσαντι τοὺς ἄξονας, καὶ ἄρδην τούτους ὑποβρυχίσαντι, τὸν ἐπινίκιον ὕμνον ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ὑπὸ νεφέλης φωτεινῆς, καὶ στύλου πυρὸς καθοδηγούμενος, διελθὼν θάλασσαν διὰ ξηρᾶς, καὶ ταύτην πεζοπορῶν ὡς ἐν ἐρήμῳ, ὁ ἐκλεκτός σου Ἰσραὴλ Χριστὲ, ἐπινίκιον ὕμνον ᾄδει σοι Κύριε.

## ΩΔΗ Β'.

Δότε λαοὶ μεγαλωσύνην Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἐκ Παρθένου τεχθέντι, εἰς σωτηρίαν τῶν βροτῶν.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Λόγος, ἐν τοῖς σπλάγχνοις τῆς Μητρὸς ἀπεριγράπτως εἰσδὺς, μὴ χωρισθεὶς τοῦ Πατρὸς, ὡς Θεὸς δὲ συμπληρῶν, σὺν τοῖς ἄνω τὰ κάτω, καὶ παρέχων τὸ μέγα ἔλεος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Γ'.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγὴ, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

### ΤΩΝ ΒΑΪΩΝ.

Νάουσαν ἀκρότομον, προστάγματι σῷ, στερεὰν ἐθήλασε πέτραν, Ἰσραηλίτης λαός· ἡ δὲ πέτρα σὺ Χριστὲ, ὑπάρχεις καὶ ζωή· ἐν ᾗ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ἔῤῥηξε γαστρὸς ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι
Ἄννης, φερούσης πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων.

### ΔΙΑΦΟΡΟΙ.

Ἀφ' ὕψους κατῆλθες, βουλήσει ἐπὶ γῆς, ὁ ὑπεράνω πάσης ἀρχῆς, καὶ ταπεινὴν ἀνύψωσας ἐξ ᾅδου κατωτάτου, φύσιν βροτείαν· οὐ γὰρ ἔστιν ἅγιος, πλήν σου Φιλάνθρωπε.

Ἐν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου· διὸ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ· ὑψώθη κέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρας μου ἐν Θεῷ μου· ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου· εὐφράνθην ἐν σωτηρίῳ σου. (1)

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, τῷ διδόντι εὐχὴν τῷ εὐχομένῳ· ὅτι τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου· ὅτι οὐκ ἔστιν ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε συναγωγὴ, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, βοήσωμεν· Ἅγιος εἶ Κύριε.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρὸς, ἐνυποστάτῳ σοφίᾳ Χριστέ· οὐ γὰρ ἔστιν ἅγιος, πλήν σου φιλάνθρωπε.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε, ἐν τῇ πίστει τῇ ὀρθοδόξῳ σου, καὶ στήριξον ἡμᾶς, ὡς φιλάνθρωπος.

Ἅγιος εἶ Κύριε ὁ Θεὸς ἡμῶν· στερέωσον καὶ ἡμῶν τὰς καρδίας, ἀπαύστως ἐκβοᾶν σοι· Δίκαιος οὐκ ἔστι πλήν σου Κύριε.

Ἄννα ἡ πρὶν ἄγονος καὶ στεῖρα, ἐπαγγελίας ἔσχε καρπὸν τὸν Σαμουήλ· νῦν δὲ Προφῆτις Ἄννα, τῷ ναῷ ἐπι-

(1) Ὁ Εἱρμὸς οὗτος ἀπαντᾶται εἰς τὰ Μηναῖα κατὰ τὴν ΚΓ. Ἰανουαρίου, ἀκατάλληλος ὅμως, ὡς ἐμοὶ δοκεῖ, εἰς τὴν Ὠδὴν τοῦ Κανόνος, ἐφ' ἧς ἐπιγράφεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ςᾶσα, ἀνθωμολογεῖτο τῷ δι' ἡμᾶς νηπιάσαντι Θεῷ, καὶ πρεσβυτικαῖς ἀγκάλαις εἰσδεχομένῳ·

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μϑ ἐν Θεῷ μϑ, ὅτι οὐκ ἔστιν ἅγιος, πλὴν σϑ Κύριε.

Μὴ καυχάσθω ὁ σοφὸς, καυχώμενος ἀλλ' ἢ ἐν τούτῳ, ἐν τῷ συνιέναι, ὅτι ϑκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, ὁ ὑψῶν τὸ κέρας ἡμῶν, διδοὺς ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Ὁ τὰς καρδίας ἐρευνῶν, καὶ τοὺς νεφροὺς ἐμβατεύων, πρὸς γνῶσιν Θεότητος Λόγε Θεοῦ ἀτρεκῆ, πενομένων πλουτιστὰ, πιπτόντων ἀνόρθωσις, ἀπὸ κοπρίας παθῶν θᾶττον ἀνάστησον. στηρίζων ἐν πνεύματι τῆς σῆς αἰνέσεως, καὶ βεβαιῶν ἐν τῇ πέτρᾳ με Σῶτερ τῆς πίστεως.

Στήριγμα πιστῶν, καὶ καύχημα, καὶ ἀφθαρσίας πηγὴ, καὶ τῶν ἀγαθῶν αἴτιε καὶ δότα Χριστὲ, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με·

Ὕψιστε Σωτὴρ τῶν δυνάμεων, τὴν σαλευομένην ψυχήν μου στερέωσον εἰς τὸ θέλημά σϑ, ἵνα κἀγὼ δοξάσω σϑ, σὺν ἀσωμάτοις τὴν θείαν εὐπρέπειαν.

## ΩΔΗ Δ΄.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας· Δόξα Χριστὲ τῇ δυνάμει σου.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

### ΤΩΝ ΒΑΪΩΝ.

Χριστὸς ὁ ἐρχόμενος, ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει καὶ οὐ χρονιεῖ, ἐξ ὄρους κατασκίου δασέος, Κόρης



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τικτούσης ἀπειράνδρου, Προφήτης πάλαι φησί. Διὸ πάντες βοῶμεν· Δόξα τῇ δυνάμει σου Κύριε.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἴου μόνος,
Λόγος προελθὼν Πατρὸς ἐξ ἀναιτίου,
Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις,
Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης,
Ἄδουσι· Δόξα τῷ κράτει σου Κύριε.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοεν ὁ Προφήτης, τὴν ἔλευσίν σου Κύριε καὶ ἐφοβήθη· κατενόησε τὰ ἔργα σου, καὶ ἐξέστη. Δόξα τῇ δυνάμει σου· δόξα τῇ συγκαταβάσει σου φιλάνθρωπε.

Δι' ἀγάπησιν Οἰκτίρμον τῆς σῆς εἰκόνος, ἐπὶ Σταυροῦ σου ἔστης, καὶ ἐτάκησαν ἔθνη· σὺ γὰρ εἶ φιλάνθρωπε, ἰσχύς μου καὶ ὕμνησις.

Εἰσακήκοα Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην, ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ.

Εἰσακήκοα ὁ Θεὸς, τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε, ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ.

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Εἰσακήκοα τὴν ἀκοήν σου Κύριε, ὅτι ὤφθης ἐπὶ γῆς, καὶ ἐδόξασά σου τὴν δύναμιν.

Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεὸς, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς κραυγάζοντας· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἔκλινας Χριστὲ τῇ καταβάσει σου, οὐρανοὺς ἐν

συνέσει, καὶ ὤφθης σεσαρκωμένος ἐπὶ γῆς. Διὸ πάντες βοῶμεν· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Οὗτος ὁ Θεὸς ἡμῶν, ὁ ἐκ Παρθένου σαρκωθεὶς, καὶ τὴν φύσιν θεώσας, ὃν ὑμνοῦντες βοῶμεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας Χριστὲ ὁ Θεὸς, προμηνύων ὁ Προφήτης τὴν ἔλευσιν, μετὰ χαρᾶς ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε, καὶ ἡ γῆ ἐπληρώθη τῆς δόξης σου Χριστέ· διὸ ἀπαύστως κραυγάζομεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκοὴν ἀκηκοὼς φησὶν ὁ Ἀββακοὺμ, ὅτι ὁ Θεὸς ἐξ ὄρους, ἐκ γαστρὸς Παρθενικῆς, προῆλθεν ἀφράστως, καὶ ἐκστὰς ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, ὅτι ἐκ Παρθένου ἐτέχθης, τὴν τεκοῦσαν μὴ φλέξας, καὶ ἐδόξασα Σωτὴρ τὴν συγκατάβασίν σου.

Ἐν μέσῳ δύο ληστῶν, ἐγνώσθης ἐν τῷ Σταυρῷ Χριστὲ ὁ Θεὸς, καὶ ἐπήρθη ὁ ἥλιος ἐν φόβῳ, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Κύριε δόξα σοι.

Ἤχῳ εὐλάλῳ, προδιαγνοὺς Ἀββακοὺμ, ἑώρα τοῦ Λόγου τὴν σάρκωσιν, καὶ κέκραγεν ἀναφανδόν· Ἀκοὴν ἀκήκοα θείας βουλήσεως· Θεὸς γὰρ ἀτρέπτως τοῖς βροτοῖς ὁμιλήσει, ἐξ ὄρους ἐρχόμενος, παρθενικῆς ἐκ γαστρὸς, καὶ κόσμον λυτρούμενος, τῆς ἀρχεγόνου ἀρᾶς.

Μέγα καὶ θεοπρεπὲς Σωτὴρ εἰσακήκοα, ὅτι ἀθάνατος ὢν Θεὸς, ὡμοιώθης τοῖς ἀνθρώποις, καὶ ἔμεινας ὃ ἦς· καὶ διὰ τοῦτό σου δοξάσω τὴν δύναμιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὃν ὁ Προφήτης Ἀββακὺμ προβλεπτικοῖς ὄμμασι, κατανοῶν ἐκήρυττε Θεὸν, ὁ Πρεσβύτης σήμερον ἐν τῷ ναῷ εἰσδέχεται βοῶν· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου.

Σὲ τὸν ἀνατείλαντα ἐξ ἀπειράνδρου Μητρὸς, ὁ Προφήτης Ἀββακὺμ προϊδὼν ἀνεβόα, ἐπ' ἐσχάτων τῶν χρόνων· Τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας· δόξα τῇ δυνάμει σου Κύριε.

## ΩΔΗ Ε'.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον Υἱὸν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

### ΤΩΝ ΒΑΪΩΝ.

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι, ὁ εὐαγγελιζόμενος, καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων, ἐν ἰσχύϊ ὕψωσον φωνήν· Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ· εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσιν.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε Πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας·
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

### ΔΙΑΦΟΡΟΙ.

Ἀνάτειλόν μοι Κύριε, τὸ φῶς τῶν προσταγμάτων σου, ὅτι πρὸς σὲ Χριστὲ τὸ πνεῦμά μου, ὀρθρίζει καὶ

ὑμνεῖ σε· σὺ γὰρ πέλεις μου Θεός, καὶ πρὸς σὲ κατέφυγον, τῆς εἰρήνης Βασιλεῦ.

Ἀσεβεῖς οὐκ ὄψονται, τὴν δόξαν σου Χριστὲ, ἀλλ' ἡμεῖς σὲ Μονογενὲς, Πατρικῆς ἀπαύγασμα δόξης Θεότητος, ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμέν σε φιλάνθρωπε.

Ἐκ νυκτὸς ὀρθρίζοντα φώτισόν με, ζωοποιὲ Χριστοῦ Σταυρὲ, φόβῳ προσκυνοῦντά σε, ἡμέραν σωτήριον, ἀεὶ ἐξανατέλλων μοι.

Νῦν ἀναστήσομαι, προφητικῶς ἔφη ὁ Θεὸς, νῦν ὑψωθήσομαι, νῦν δοξασθήσομαι, τὸν πεσόντα προσλαβὼν ἐκ τῆς Παρθένου, καὶ πρὸς φῶς τὸ θαυμαστὸν ἀνυψῶν τῆς ἐμῆς Θεότητος.

Ὁ ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὁ κτησάμενος ἡμᾶς, περιούσιον λαὸν, τῷ αἵματί σου Κύριε, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, ἐν ὁμονοίᾳ φυλάττων τὴν ποίμνην σου.

Ὄρθρον φαεινὸν ἡμῖν ἐξανάτειλον ὡς ἀγαθὸς, καὶ ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου Δέσποτα.

Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον φάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνῇ σε Χριστὲ, τὸν δημιουργὸν, ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τὸν φωτισμόν σου Κύριε, κατάπεμψον ἡμῖν, καὶ τῆς ἀχλύος ἡμᾶς τῶν πταισμάτων λῦσον Ἀγαθὲ, τὴν σὴν εἰρήνην οὐρανόθεν δωρούμενος.

**Ἄνθρακα πυρὸς τῇ λαβίδι δέχεται, ὁ Ἡσαΐας ποτὲ, τὰ χείλη καθηράμενος· νῦν δὲ ἡ Παρθένος ἐν τῷ ναῷ φέρουσα Θεὸν, σωματωθέντα δι' ἡμᾶς, ταῖς χερσὶν ὡς λα-**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βίδι τῷ Πρεσβύτῃ ἐπιδίδωσιν, εἰρήνης τὸν αἴτιον, καὶ τοῦ παντὸς χορηγόν.

Ἐκ νυκτὸς ὀρθρίζοντες πάντες ἀσιγήτως, σὲ τὸ ἀπρόσιτον ἱκετεύομεν φῶς, ὁ Θεὸς ὁ οἰκτίρμων· Τὴν σὴν εἰρήνην Χριστὲ δώρησαι ἡμῖν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, τοὺς παρανόμους Ἑβραίους, καὶ πῦρ ἔδεται τοὺς ὑπεναντίους σου· ὅτι σὲ τὸν Σταυρωθέντα πλάνον ὠνόμασαν.

Νυκτομαχῶν τῶν παθῶν τῇ ἰσχύϊ, πρὸς σὲ ὀρθρίζω τὸν μόνον εὔσπλαγχνον, τῆς ψυχῆς μου τὴν ἀχλὺν καταλάμψαι, καὶ σειρὰς διατμῆξαι τῶν ὀφλημάτων μου, ὅπως τῷ σῷ συναϊδίῳ Πνεύματι, καταγλαϊζόμενος δικαιοσύνης ὁδὸν, ἀκήρατον εὕροιμι τῶν προσταγμάτων σου.

Τὸ ζοφερὸν διάλυσον τῆς ἁμαρτίας μου, ἐν τῷ ἀνατέλλειν μοι ὄρθρον φαεινὸν τῶν ἐντολῶν σου, Κύριε τὸ ἀπρόσιτον φῶς.

Τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον, λάμψον εἰς ἡμᾶς τῇ αἴγλῃ τῶν ἐντολῶν σου, καὶ ἀπέλασον ἡμῶν τὴν νύκτα τῶν παθῶν, ὅτι ἐκτός σου ἄλλον Θεὸν οὐκ οἴδαμεν.

Τῷ νόμῳ τῶν ἐντολῶν σου, μόνε φιλάνθρωπε, φώτισον τὴν καρδίαν μου, δέομαι Κύριε, καὶ ἐλέησόν με.

## ΩΔΗ ς'.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος· Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν Δυνάμεων.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

### ΤΩΝ ΒΑΪΩΝ.

Ἐβόησαν, ἐν εὐφροσύνῃ Δικαίων τὰ πνεύματα·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νῦν τῷ κόσμῳ, διαθήκη καινὴ διατίθεται· καὶ ῥαντίσματι, καινουργείσθω λαὸς θείου αἵματος.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία,
Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου,
Ἵν' ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου
Στέρνων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

### ΔΙΑΦΟΡΟΙ.

Ἐν κήτει Χριστὲ τριημερεύσας, Ἰωνᾶς προέγραψέ σε τὸν ἀθάνατον, ὡς νεκρὸν ἑκούσιον, ἐν τῇ καρδίᾳ τῆς γῆς τριημερεύσαντα.

Ἐν πελάγει τοῦ βίου, ταῖς πράξεσί μου, κατῆλθον εἰς βυθόν· ἀλλ' ὡς ἐκ κήτους Ἰωνᾶς, οὕτω βοῶ σοι· Ἐκ βυθοῦ τῶν κακῶν μου, ἀνάγαγε δέομαι, Υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Ζάλη με λογισμῶν καταλαβοῦσα, εἰς βυθὸν καθέλκει με, ἀμέτρων ἁμαρτημάτων· ἀλλὰ σὺ Κυβερνῆτα ἀγαθὲ, προφθάσας ἀνάγαγε ὡς τὸν Προφήτην καὶ σῶσόν με.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων· ἀλλ' ὡς Θεὸς ἐκ φθορᾶς ἀνάγαγε, τὴν ζωήν μου Πολυέλεε.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Μὴ καταποντισάτω με καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός· ἀπέρριμαι γὰρ εἰς βάθη καρδίας θαλάσσης τῶν κακῶν μου· διό σοι κραυγάζω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς Ἰωνᾶς· Ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, ὁ Θεὸς ἡμῶν.

Τῶν πταισμάτων τῇ ζάλῃ βυθιζόμενος, ὡς ἐν κοιλίᾳ τοῦ κήτους συνεχόμενος, σὺν τῷ Προφήτῃ κράζω σοι· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, Κύριε καὶ διάσωσόν με.

Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἐλυτρώσω τοῦ κήτους Χριστὲ ὁ Θεός, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε, καὶ σῶσόν με μόνε φιλάνθρωπε.

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου, καὶ ἀνήγαγες ἐκ φθορᾶς τοῦ κλύδωνος τῶν πταισμάτων· περιέχει γὰρ Σωτὴρ καὶ βυθίζειν με πειρᾶται ἀγαθέ· ἀλλ' ὥσπερ τὸ πρὶν τὸν Ἰωνᾶν ἀνήγαγες ἐκ φθορᾶς, κἀμὲ δέομαι Κύριε προφθάσας διάσωσον.

Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας, αἰνοῦμέν σε Κύριε ὁ Θεὸς ἡμῶν· εἰσάκουσον τῆς φωνῆς ἡμῶν.

Ἰωνᾶς ὁ Προφήτης ἐν τῇ κοιλίᾳ τοῦ κήτους, ἐκ θλίψεως ἐβόησεν· Ἡ κεφαλή μου ἔδυ εἰς σχισμὰς ὀρέων Κύριε· ὁ δὲ Συμεὼν ὑποδεξάμενος χαρμονικῶς ἐκραύγαζε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου κατὰ τὸ ῥῆμά σου.

Μυστικῶς ὑποφήτης τῆς τριημέρου ταφῆς ὁ Ἰωνᾶς ἀναδέδεικται, ἐλοφωΐῳ γαστρὶ θηρὸς τριημερεύσας, ἄτερ φθορᾶς, καὶ παθῶν ἐξαλεῖψαι δεσμὰ κραυγάζει πιστῶς· Φωνὴν αἰνέσεως Κύριε, δέξαι μου ἐξ ᾅδου κατωτάτου, Χριστὲ Σωτὴρ καὶ σῶσόν με.

Ὁ τῆς σῆς δι' Ἰωνᾶ ταφῆς τὸν τύπον προδιαγράψας σαφῶς, καὶ τοῦτον ἀληθῶς ἑλκύσας τοῦ θηρός, κἀμὲ Σωτὴρ τῆς ἁμαρτίας τοῦ βυθοῦ ἀνάγαγε, καὶ πρὸς ζωὴν σαφῶς δέομαι καθοδήγησον.

Ὁ τὸν Προφήτην, ἐν τῇ κοιλίᾳ τοῦ κήτους διαφυλάξας, ἅγιε Κύριε βοήθησόν μοι.

Τὸν ἐνάλιον θρῆνον Χριστὲ Ἰωνᾶ ἐκμιμούμενος κράζω σοι· Τὴν ζωήν μου ἐξ ᾅδου πταισμάτων ἀνάγαγε, ἵνα ἐν τῷ ναῷ τῆς δόξης σου, μετὰ φωνῆς αἰνέσεως θύσω σοι.

Τῷ κλύδωνι συνεχόμενος τῶν πταισμάτων, φιλανθρω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πίας ἀξιούμενος οὐ γινώσκω· ὡς τὸν Προφήτην Ἰωνᾶν, κᾀμὲ διάσωσον Σωτήρ.

Χειμαζόμενος Οἰκτίρμον σάλῳ τῶν πταισμάτων μου, δέομαι· Ἀνακάλεσόν με, καὶ διάσωσόν με Κύριε, ὡς Ἰωνᾶν, ἐκ τοῦ θηρὸς τοῦ νοητοῦ.

Ὡς τὸν Προφήτην ἐκ τοῦ βυθοῦ καὶ φθορᾶς ἀνήγαγες, τὴν ζωήν μου Ἀγαθὲ, ἐκ πταισμάτων ῥῦσαι τῇ εὐσπλαγχνίᾳ σου.

## ΩΔΗ Ζ΄. (1)

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

### ΤΩΝ ΒΑΪΩΝ.

Ὁ διασώσας ἐν πυρὶ, τοὺς Ἀβραμιαίους σου Παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελὼν, οἷς ἀδίκως δικαίους ἐνήδρευσαν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας.
Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις
Σεβασμιάζει τοῦ βοᾷν· Τριὰς μόνη,
Ἰσοσθενὴς, ἄναρχος, εὐλογητὸς εἶ.

(1) Εἰς τὴν ἐν Κωνσταντινουπόλει τῶν Μηναίων ἔκδοσιν τοῦ 1843, ὁ δεύτερος Κανὼν τοῦ ὁσίου Μαρκέλλου τῇ κθ΄. Δεκεμβρίου, ἔχει τὴν ἑβδόμην Ὠδὴν πρὸς Εἱρμὸν ἀρχόμενον « Ἀβύσσους », ὅς τις οὐδαμοῦ οὐ μόνον τῶν Μηναίων, ἀλλὰ καὶ τῶν ἄλλων προμνησθέντων Βιβλίων ἀπαντᾶται ὁλογραφος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΔΙΑΦΟΡΟΙ.

Ἀβραμιαῖοι ποτὲ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν, ἐν ὕμνοις κραυγάζοντες· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ἐν τῇ καμίνῳ οἱ Παῖδες, ὡμολόγουν· Ἀγγέλου τε ἤκουον, βοῶντος πρὸς αὐτούς· Εἰσηκούσθη ἡ δέησις ὑμῶν.

Μὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ὑπερύμνητος εἰς τοὺς αἰῶνας.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικὸν, εἰς φλήναφον θέμενοι, ἐν μέσῳ φλογὸς ἀνεβόων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν ἀρχῇ ἄναρχος Λόγος, σὺν Πατρί τε καὶ Πνεύματι, Υἱὸς ὁ μονογενὴς, εὐλογητὸς εἶ καὶ ὑπερυψούμενος, ὁ Θεὸς ὁ τῶν Πατέρων.

Ὁ ἐν τῷ ὄρει τῷ Μωσεῖ συλλαλήσας, καὶ τύπον τῆς Παρθένου τὴν βάτον δείξας, εὐλογητὸς Κύριε ὁ Θεὸς, τῶν Πατέρων ἡμῶν.

Ὁ τῶν Πατέρων Θεὸς, μὴ καταισχύνῃς ἡμᾶς· ἀλλὰ δώρησαι ἡμῖν ἐν παῤῥησίᾳ βοᾷν σοι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο, Παῖδες ἐδροσίζοντο, καὶ ὑμνοῦντες ἔλεγον· Εὐλογητὸς εἶ ὁ μόνος ὑπάρχων Θεὸς τῶν Πατέρων ἡμῶν (1).

(1) Ὁ Εἱρμὸς οὗτος ἐν ἐνίοις κεῖται οὕτω· « Πῦρ φλέγον Ἄγγελος ἐν » καμίνῳ ἐξετίναξεν· ἡ Παῖδες ἐδροσίζοντο », κτλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῇ εἰκόνι τῇ χρυσῇ, μὴ προσκυνήσαντες Παῖδες Ἀβραμιαῖοι, ἐδοκιμάζοντο ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ· ἐν καμίνῳ γὰρ πυρὸς, ὡς ἐν θαλάμῳ φωτεινῷ, ἐχόρευον βοῶντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸν ἐν καμίνῳ τοὺς Παῖδας, ἀφλέκτους τηρήσαντα, καὶ τὸ πῦρ κατασβέσαντα, ὑμνήσωμεν λέγοντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων, εἰς πάντας τοὺς αἰῶνας.

Σὲ ζωγραφοῦσα ἡ Ἀσσύριος φλόγα, Νέους τρεῖς διέσωσε Κύριε, ὡς καὶ τὴν Παρθένον οὐ κατέφλεξε Κόρην, ἐν τῷ θείῳ τόκῳ σου ὁ θεϊκὸς σπινθὴρ· ὑπερύμνητε, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Σοβαροῦ βασιλέως Περσῶν διατάγματος, βρομίῳ πυρὶ καθοπλίσαντος, Παίδων ὁ τριφεγγὴς θίασος κατεφρόνησεν, ἐν καμίνῳ πυραφλέκτως βοῶν· Ὁ αἰνετὸς τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῆς διαθήκης σου μνησθεὶς Χριστὲ ὁ Θεὸς, τοὺς Παῖδας ἐῤῥύσω ἐκ φλογὸς, δι' Ἀγγέλου συγκαταβάσεως, μόνε ἀληθῶς ὑπερένδοξε.

Τοῦ Ἀβραὰμ οἱ ἀπόγονοι, Βαβυλωνίων φλόγα κατεπάτησαν, προτυποῦντες ἐν αὐτῇ τῆς Παρθένου τὸ θαῦμα· ὃν Συμεὼν δεξάμενος, ἠγαλλιάσατο βοῶν· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ὁ τῶν Πατέρων Θεός.

Τῶν Χαλδαίων τὴν κάμινον, πάλαι Ἄγγελος συγκαταβὰς ἐδρόσισεν· οἱ ἐν Βαβυλῶνι Παῖδες, διὰ τοῦτο ἔψαλλον· Ὁ τῶν Πατέρων ἡμῶν εὐλογητὸς εἶ

Χαλδαϊκῆς καμίνου, οἱ Παῖδες κατεφρόνησαν διὰ τὸ ὄνομά σου Σωτὴρ, καὶ σκιρτῶντες ἔκραζον· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνερ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει (1) ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄκουε Κόρη Παρθένε ἁγνή· εἰπάτω δὴ ὁ Γαβριὴλ, βουλὴν Ὑψίστου ἀρχαίαν ἀληθινήν. Γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ· Διὰ σοῦ γὰρ ὁ ἀχώρητος βροτοῖς ἀναστραφήσεται· διὸ καὶ χαίρων βοῶ· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

### ΤΩΝ ΒΑΪΩΝ.

Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών· ὁ βασιλεύων γὰρ εἰς τὲς αἰῶνας, Κύριος τῶν Δυνάμεων ἦλθεν· εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Λύει τὰ δεσμὰ, καὶ δροσίζει τὴν φλόγα,
Ο' τρισσοφεγγὴς τῆς Θεαρχίας τύπος.
Υ'μνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον
Σωτῆρα καὶ παντουργὸν, ὡς εὐεργέτην,
Η' δημιουργηθεῖσα σύμπασα κτίσις.

### ΔΙΑΦΟΡΟΙ.

Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσα καὶ πᾶσαι αἱ πηγαὶ, οἱ οὐρανοὶ τῶν οὐρανῶν, φῶς καὶ σκότος, ψύχος καὶ καύσων, υἱοὶ τῶν ἀνθρώπων, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐν φλογὶ πυρὸς παρίστανταί σοι, Χερουβὶμ Σε-

(1) Ὁ συνηθέστατος οὗτος Εἱρμὸς ἐν πολλοῖς ἀπαντᾶται ἔχων ἀντὶ τοῦ « ἀγείρει ψάλλουσαν », « ψάλλειν ἐδίδαξε ». Ἐνίοτε δὲ ἡ ἀρχὴ αὐτοῦ κεῖται, « Εὐαγεῖς Παῖδας », διὰ τὸν ῥυθμὸν τῆς Ἀκροστιχίδος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ραφὶμ Κύριε, καὶ πᾶσα κτίσις ὕμνον ᾄδει σοι τερπνόν· Ὑμνεῖτε εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν τὸν μόνον δημιουργὸν, εἰς πάντας τοὺς αἰῶνας.

Λυτρωτὰ (1) τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· Πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Οἱ ἐν Βαβυλῶνι Παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλὴν ἀνδρείως κατεπάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ τὰ σύμπαντα φέρων, τῇ ἀποῤῥήτῳ σου δυνάμει Χριστὲ, τοὺς ὁσίους σου Παῖδας, ἐν τῇ φλογὶ ἐδρόσισας κράζοντας· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Πάντα τὰ ἔργα τοῦ Θεοῦ, καὶ πᾶσα κτίσις, εὐλογεῖτε τὸν Κύριον· Ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Πάντα τὰ ἔργα τοῦ Θεοῦ, καὶ πᾶσα κτίσις εὐλογεῖτε τὸν Κύριον· ὅτι τοῖς ἀνθρώποις ἐκ τῆς γῆς ἀνέτειλε τὸ φῶς, καὶ τὴν οἰκουμένην πᾶσαν ἐφώτισε, καὶ ζωὴν αἰώνιον τῷ κόσμῳ ἐδωρήσατο· ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὰ σύμπαντα Δέσποτα, τῇ σῇ σοφίᾳ συνεστήσω· γῆς δὲ πάλιν ἥδρασας, ὡς οἶδας τὸν πυθμένα, τῇ βάσει πηξάμενος ἐπὶ ὑδάτων ἀπείρων. Διὸ πάντες βοῶμεν ἀναμέλποντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Τὸν Βασιλέα Χριστὸν, ὃν ὡμολόγησαν οἱ αἰχμάλωτοι Παῖδες, ἐν τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ

(1) Ὁ Εἱρμὸς οὗτος, εἰς τὸν Κανόνα τῶν Γενεθλίων τοῦ Προδρόμου, ἄρχεται « Εὐεργέτα Χριστὲ ».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

φωνῇ· Πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, ἐν Βαβυλῶνι τοὺς Παῖδας τῶν Ἑβραίων, διασώσαντα Θεὸν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐν μορφῇ Ἀγγέλου ὁραθέντα, ἐν καμίνῳ πυρὸς τοῖς ὑμνολόγοις, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε Παῖδες, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν τῷ Σταυρῷ, σαρκὶ (1) προσηλωθέντα, καὶ ὑποδείξαντα ἡμῖν ὅπλον εἰς σωτηρίαν, Παῖδες ὑπερυψοῦτε, Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἆσμα καινὸν ᾄσωμεν λαοὶ, τῷ καταβάντι ἐπὶ γῆς τοῦ σῶσαι ἡμᾶς· βουλήσει γὰρ ἐν Σταυρῷ προσηλώθη ὁ Κύριος, γνωρίσας τοῖς ἔθνεσιν, ὅτι διὰ τὸν Ἀδὰμ δούλου σχῆμα ἐνεδύσατο, ὁ ἐν τοῖς ὑψίστοις οἰκῶν εἰς τοὺς αἰῶνας.

Γηθόμενοι τυραννικῇ μὲν ἀποφάσει Παῖδες, ὡς ἂν μὴ θεοῖς βεβήλοις λατρεύσωσι πάλαι, ἀλλ' ἢ τῷ ζῶντι Θεῷ, πυρὸς κατετόλμησαν· ὑπ' Ἀγγέλου δὲ δροσιζόμενοι ὕμνον ἔμελπον· Τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ πολυθρύλλητος φλὸξ, τῶν αἰχμαλώτων τοῖς ἁγνοῖς, ἑνωθεῖσα σώμασι, δροσοβόλος ἀναδέδεικται, τυραννικῆς δυσφημίας ἀντίθεον ἄγαλμα παραδειγματίσασα, τῇ θεϊκῇ συγκαταβάσει, τῶν νεανιῶν ψαλλόντων· Τὰ κτιστὰ τὸν κτίσαντα Θεὸν εὐλογεῖτε, ὡς δημιουργὸν τῶν ἁπάντων ἀπαύστως εἰς τοὺς αἰῶνας.

Τὸν ἐκτείναντα Θεὸν, τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, καὶ

(1) Τὸ « σαρκὶ » ἐν τισιν ᾠδαῖς φαίνεται περιττεῦον ὡς πρὸς τὸν ῥυθμόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεμελιώσαντα τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, Ἱερεῖς Κυρίου, καὶ δοῦλοι Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν φλογὶ συγκαταβάντα, ταῖς ὑμνολόγοις τῆς Σιών, μορφῇ Ἀγγέλου, Παῖδες ὑπερυψοῦτε, Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Τὸν ἐπὶ θρόνου Χερουβὶμ ἐποχούμενον Θεόν, καὶ ἐφορῶντα ταπεινά, ὁ Συμεὼν ὡς βρέφος ταῖς ἀγκάλαις φέρει ἐν τῷ ναῷ· ὃν εὐλογοῦσι τὰ ποιήματα πάντα εἰς τοὺς αἰῶνας.

Τοὺς ἐπιβάντας ἐν φλογί, παρανόμου τυράννου προστάγματι, Παῖδας μιμούμενοι, ἀσιγήτοις χείλεσιν, ἐν ὑψίστοις αἰνετῶς ἐκβοήσωμεν· Ἀγαθέ, ὑπερφυῶς ὑπάρχων πανάγιος, τοὺς ὑμνοῦντάς σε, φέγγει τῷ νοητῷ σου καταύγασον.

## ΩΔΗ Θ'. (1)

### ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ, Ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων· Χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

### ΤΩΝ ΒΑΪΩΝ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· συστήσασθε ἑορτήν, καὶ ἀγαλλόμενοι, δεῦτε μεγαλύνωμεν Χρι-

(1) Ἡ Ἐννάτη Ὠδὴ τοῦ Β'. Κανόνος τῆς μετὰ τὴν Χριστοῦ Γέννησιν Κυριακῆς ἔχει Εἱρμὸν ἀρχόμενον « Μωϋσῆς ἐν τῷ ὄρει » ἀλλ' οὗτος οὐδαμοῦ ἀπαντᾶται ὁλόγραφος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στὸν, μετὰ βαΐων καὶ κλάδων, ὕμνοις κραυγάζοντες. Εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Σωτῆρος ἡμῶν.

## ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Χαίροις Ἄνασσα μητροπάρθενον κλέος·
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως·
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν.

## ΔΙΑΦΟΡΟΙ.

Ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ· καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς, ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς, εἰς ὁδὸν εἰρήνης.

Εὔα μὲν, τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο· σὺ δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας· ὅθεν σε πάντες μεγαλύνομεν.

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Λόγου Θεοῦ ἄφραστον ἐν σοὶ τελεῖται, ἐμφανὲς μυστήριον, Παρθένε Ἄχραντε· καὶ γὰρ Θεὸς, ἐκ σοῦ σεσωμάτωται δι' εὐσπλαγχνίαν· διό σε ὡς Θεοτόκον μεγαλύνομεν.

Μεγαλύνομεν πάντες, τὴν φιλανθρωπίαν σου, Κύριε Σωτὴρ ἡμῶν, ἡ δόξα τῶν δούλων σου, ὁ στέφανος τῶν πιστῶν, ὁ μεγαλύνας τὴν μνήμην τῆς τεκούσης σε.

Μετὰ τόκον σε Ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τόκῳ ἄχραντε, σὲ πᾶσα κτίσις καταγγέλουσα, ὡς Θεοτόκον ἀληθῆ μεγαλύνομεν.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ, εἰς γενεὰν καὶ γενεάν, τοῖς φοβουμένοις αὐτόν.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὃς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συναναστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Παρθενομάρτυς πολύαθλος, Παρθένον μητέρα πολυΰμνητον, σήμερον ἐν τῷ αὐτῆς νυμφῶνι, ἐπιδημοῦσαν ξεναγεῖ· νυμφοστόλοι πάντες χορεύσωμεν πάτρια, εὐσεβῶς τὴν Βασιλίδα μεγαλύνοντες.

Σὲ τὴν ὑπερένδοξον Νύμφην, καὶ παναγίαν Θεοτόκον, τὴν τὸν Κτίστην τεκοῦσαν, τῶν ὁρατῶν τε πάντων καὶ ἀοράτων, ἐν ὕμνοις μεγαλύνομεν.

Τὸν ἄσπορον τόκον σου, Θεοτόκε ἄχραντε, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Ἀκατάληπτος ὁ τόκος τῆς λοχείας σου, ἀνερμήνευτος ὁ πλοῦτος τῆς ἁγνείας σου· μετὰ τόκον παρθενεύεις γὰρ μόνη γυναικῶν, ὡς τεκοῦσα τὸν αὐτῆς Ποιητήν, κέρας σωτήριον τοῖς πιστοῖς ἀνυψώσαντα τὸν τίμιον Σταυρόν· ἐν ᾧ σωθέντες διὰ σοῦ, ὡς Θεοτόκον σε μεγαλύνομεν.

Ἀνωτέρα τῶν ὑπερκοσμίων Νόων, καὶ τῶν πολυομμάτων Χερουβὶμ ὑψηλοτέρα· ἄχραντε Μήτηρ Θεοῦ, τὸν Κτίστην συνέλαβες· αὐτῶν γὰρ τῶν ἐν κτίσει δεσπόζεις ἁπάντων· ὅθεν ἐν ὕμνοις Θεοτόκε, οἱ πιστοὶ σὲ μεγαλύνομεν

Γηγενῶν ἐκφυεῖσα, καὶ τὸν Κτίστην τεκοῦσα, τὸ ἡμέτερον καύχημα Θεοτόκε ἁγνή, σὲ ὡς δεσπόζουσαν τῶν ποιημάτων μεγαλύνομεν.

Ἐν σοὶ Θεοτόκε, τὸ ἡμέτερον ἥττημα πέπαυται· τὸν γὰρ ἀόρατον Λόγον, ἐν σπλάγχνοις σου δεξαμένη, διπλοῦν αὐτὸν τέτοκας, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ᾧ τὰ Χερουβὶμ ἀτενίσαι οὐ τολμᾷ· μεγαλύνομεν ὅθεν σε Πάναγνε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον, τὴν οὐράνιον παστάδα, τὴν τεκοῦσαν τὸν Ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν τὸν ἀχώρητον Λόγον ἐν γαστρὶ χωρήσασαν, τὴν τῶν οὐρανῶν πλατυτέραν, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέραν, Θεοτόκε ἄχραντε, ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ὑπὲρ πᾶσαν ἔννοιαν, μητροπάρθενον Κόρην ἀνύμφευτον, τὸν Σωτῆρα καὶ Θεὸν, ἀφράστῳ λόγῳ κυήσασαν! κατὰ χρέος οἱ πιστοὶ ἅπαντες εὐσεβῶς μεγαλύνομεν.

Σὲ ὡς χωρίον ἀχράντου Λόγου, καὶ δοχεῖον τοῦ Πνεύματος, καὶ τῆς εὐδοκίας ἐργαστήριον ὑμνοῦμεν· ἐν σοὶ γὰρ τὸ συνάλλαγμα τῆς σωτηρίας ἡμῶν ἐξείργαστο.

Σοῦ τὴν πάναγνον, καὶ ἄφθορον μήτραν Παρθένε Θεοτόκε, ὁ Θεοῦ Θεὸς Λόγος ἁγιάσας, σώαν ἐφύλαξεν, ἐξ αὐτῆς προελθὼν, τεσσαρακονθήμερον βρέφος ὠράθη· ᾧ προσάγεται ὡς νόμου ποιητὴς, καὶ τοῦ νόμȣ δοτὴρ, ὃν μεγαλύνομεν.

Τὴν πυρένδασον πάλαι, κάμινον τῶν Χαλδαίων, καὶ πυρὶ ἄφλεκτον τὴν βάτον ἐν Σινᾷ, Θεοτόκον πάντες ἐν ὕμνοις μεγαλύνομεν.

Ὑμνοῦμεν σε ἄχραντε, Παρθενομῆτορ ἔνδοξε, ὅτι ἀνεβλάστησας τὸν οὐράνιον στάχυν Χριστὸν τὸν Θεὸν, ὑπὲρ πᾶσαν ἔννοιαν· ἐκ σοῦ ἄρτος γέγονε ζωηφόρος τοῖς πιστοῖς. Διὸ κραυγάζομεν· Χαῖρε ἄμωμος ἡ μείνασα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ ΠΛ΄. Α΄.

## ΩΔΗ Α΄.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Τῷ σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

ΔΙΑΦΟΡΟΙ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι θαυμαστὰ τέρατα, ἐν ἐρυθρᾷ θαλάσσῃ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Γῆν ἐφ' ἣν οὐκ ἔλαμψεν, οὐκ εἶδεν ἥλιος ποτὲ, ἄβυσσον, ἣν οὐχ ἑώρακε γυμνὴν, τὸ κλίτος οὐρανοῦ, Ἰσραὴλ διώδευσεν ἀβρόχως Κύριε· καὶ εἰσήγαγες αὐτὸν εἰς ὄρος ἁγιάσματός σου, ᾄδοντα ψάλλοντα, ἐπινίκιον ᾠδήν.

Ἵππον καὶ ἀναβάτην, εἰς θάλασσαν Ἐρυθρὰν, ὁ συντρίβων πολέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον ὕμνον ᾄδοντα.

Ἄσωμεν τῷ Κυρίῳ τῷ θαυμαστῷ, ὅτι ἐκ πικρᾶς ἐλευθερώσας δουλείας τὸν Ἰσραὴλ, τὸν Φαραὼ πανστρατιᾷ ἐβύθισε.

Ἄσωμεν τῷ Σωτῆρι τῶν ὅλων, τῷ ἑκουσίῳ βουλῇ, ἐπὶ ξύλου προσηλωθέντι, καὶ τὸν κόσμον φωτίσαντι.

Δῶσω μεγαλωσύνην Κυρίῳ, τῷ ζῶντι εἰς αἰῶνας· πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζοποροῦν ὁ Ἰσραήλ. ἀνεπίβατον τρίβον, προστάγματι δεσποτικῷ, χαίρων ὑπέψαλλε· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Χριστὸς ἐφάνη ἐπὶ γῆς, λυτρωσάμενος τὸ γένος ἡμῶν ἐξ εἰδωλομανίας αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ὠδὴν ἐπινίκιον προσάξωμεν λαοί, τῷ ῥυσαμένῳ Θεῷ ἐκ δουλείας Φαραώ, τὸν Μωσέως λαόν· ἐνδόξως γὰρ δεδόξασται.

## ΩΔΗ Β'

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ σάρκα ἐνδυσάμενος, βουλήσει ἐκουσίᾳ, ἵνα σώσω τὸν Ἀδάμ, τὸν ἐκ πλάνης πεσόντα, τῇ παραβάσει διὰ τοῦ ὄφεως.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ ἐν θαλάσσῃ σώσας λαόν, καὶ ἐν ἐρήμῳ θρέψας αὐτόν, καὶ ἄνθρωπος γεγονώς, ἵνα σώσω τὸ γένος τῶν ἀνθρώπων.

Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστόν, τὸν δι' ἡμᾶς ἐκ Παρθένου σαρκωθέντα, καὶ φθοράν, καὶ θάνατον τῷ πάθει καθελόντα.

## ΩΔΗ Γ'.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, (1) τὴν σωτήριον Ἀνάληψιν.

### ΔΙΑΦΟΡΟΙ.

Ἐπὶ τὰ ἔθνη ὁ Θεὸς ἐβασίλευσεν· ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ, καὶ ψάλλομεν αὐτῷ συνετῶς, ὡς Βασιλεῖ καὶ Θεῷ.

(1) Καὶ ἐν ἄλλῃ ἡμέρᾳ, » Τὴν ἑκούσιον νῦν σταύρωσιν ».
» Τὴν τριήμερον ἀνάστασιν ».
» Τὰ σωτήρια παθήματα ».

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ πήξας ἐπ' οὐδενός, τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Σαλευομένην τὴν καρδίαν μου Κύριε, τοῖς κύμασι τοῦ βίου στερέωσον, εἰς λιμένα εὔδιον, καθοδηγῶν ὡς Θεός.

Στερέωσον ἡμᾶς ὁ Θεός, τῇ σῇ δυνάμει, καὶ κατάβαλε, αἱρετικῶν τὰ φρυάγματα, καὶ ἀνύψωσον τὸ κέρας ἡμῶν.

Ἐν τῇ πέτρᾳ τῶν ἐντολῶν σȣ, κλονούμενόν με στερέωσον· ὕψωσόν με τὸ κέρας ἐν τῇ συνέσει τῶν σῶν δογμάτων, ἵνα καυχώμενος βοῶ σοι. Οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ Κύριε τῶν δυνάμεων.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεός μου, ὁ ὑψῶν τὸ κέρας ἡμῶν, καὶ διδοὺς ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Στερέωμά μου γενοῦ, καὶ καταφυγὴ Σωτήρ· καὶ τῆς βασιλείας σου ἀξίωσον Λόγε, τοὺς εἰλικρινεῖ καρδίᾳ ὁμολογοῦντας Δέσποτα, τὴν θείαν σου σάρκωσιν.

Στερέωσόν με Κύριε, τὸν ἐν τῷ βίῳ χειμαζόμενον, καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.

Στερέωσόν με μόνε Οἰκτίρμον, δυνάμει τοῦ Σταυροῦ σȣ· ἐν αὐτῷ γὰρ καυχῶμαι, ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.

Τὸ στερέωμα τῶν προστρεχόντων ἐπὶ σοὶ Χριστὲ ὁ Θεός, τὴν ἐμὴν διάνοιαν στήριξον τῇ σῇ φιλανθρωπίᾳ, καὶ πρὸς γνῶσιν ἐπανάγαγε, τῶν ἐντολῶν σου Παντοδύναμε, ὅτι φιλάνθρωπος ὑπάρχεις Σωτὴρ ἡμῶν, καὶ δίκαιος μόνος.

## ΩΔΗ Δ'.

### ΤΗΣ ἈΝΑΛΗΨΕΩΣ.

Εἰσακήκοα τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ροῦ, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· Δόξα τῇ δυνάμει σου Κύριε.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὴν οἰκονομίαν σου, καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε.

Ἀκήκοα Κύριε, τὴν ἐκ τοῦ τάφου σου ἔγερσιν, καὶ ἐδόξασά σου, τὴν ἀήττητον δύναμιν.

Τὰ ἔργα τῆς οἰκονομίας σου Κύριε, ἐξέστησαν τὸν Προφήτην Ἀββακούμ· ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Τὴν θείαν ἐννοήσας σου κένωσιν, προβλεπτικῶς ὁ Ἀββακούμ, Χριστὲ ἐν τρόμῳ ἐβόα σοι· Εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας σου Κύριε, καὶ ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὁ Προφήτης Ἀββακούμ, προορῶν σε Χριστέ, εὐχαρίστῳ τῇ φωνῇ, ἀνεκήρυττε βοῶν. Τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην, τὰ ἔργα σου πάντα κατενόησα, καὶ ἐξέστην Κύριε.

Τὴν ἐξ ὄρους δασέος σου ἔλευσιν, ἀκηκοὼς ὁ Προφήτης ἐβόα· Δόξα τῇ ἀφράστῳ σαρκώσει σου.

Τῆς οἰκονομίας σου τὸ μυστήριον κατανοήσας Ἀββακούμ, μυστικῶς τὴν ἔλευσιν τῆς παρουσίας σου διαγράφων ἀνέκραζεν. Ἐν τῷ παρεῖναι τὸν καιρὸν Κύριε ἀναδειχθήσῃ.

Τὸ θεῖον τῆς ἐπιφανείας σου κάλλος ὁ Προφήτης προκατιδών, καὶ τὴν συγκατάβασιν ἐξιστάμενος τῆς σαρκώσεως, Χριστὲ προανεφώνησεν. Ἀπὸ Θαιμὰν ἥξει ὁ Κύριος, ἱλασμὸν τῷ κόσμῳ δωρούμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Ε΄. (1)

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Ὀρθρίζοντες βοῶμεν σοι Κύριε· Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

ΔΙΑΦΟΡΟΙ.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πρὸς σὲ ὀρθρίζω, καὶ σοὶ κραυγάζω· Τὴν ψυχήν μου φώτισον, τὴν ἐσκοτισμένην, Χριστὲ ὡς μόνος εὔσπλαγχνος.

Τὴν τάλαιναν ψυχήν μου, νυκτομαχοῦσαν τῷ σκότει τῶν παθῶν, προφθάσας οἴκτειρον· καὶ λάμψον νοητὲ Ἥλιε, ἡμεροφαεῖς ἀκτῖνας ἐν ἐμοί, τοῦ διατμῆξαι τὴν νύκτα τὸ φῶς (2).

Τοὺς ἐκ νυκτὸς, προσκυνοῦντάς σε Χριςὲ, ἐλέησον. καὶ εἰρήνην δώρησαι, διότι φῶς καὶ τὰ σὰ προςάγματα, ἐγένοντο ἰάματα, τοῖς δούλοις σου φιλάνθρωπε.

Τὸ φῶς τὸ ἀληθινὸν, Χριστὲ ὁ Θεὸς, πρὸς σὲ ὀρθρίζει τὸ πνεῦμά μου ἐκ νυκτός· ἐπίφανον ἐπ' ἐμὲ τὸ πρόσωπόν σου.

Ἀνάτειλον Χριστὲ ὁ Θεὸς, τὸ φῶς τῆς γνώσεώς σου, καὶ φώτισον τὰς καρδίας ἡμῶν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δικαιοσύνην μάθωμεν οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, καὶ νοῦν καθάρωμεν διεγηγερμένη καρδίᾳ, πρὸς τὸν οἰκτίρμονα Θεὸν, ἐκ νυκτὸς ὀρθρίζοντες.

Δικαιοσύνης Ἥλιε νοητὲ, φώτισόν με νυκτὶ τῶν παθῶν κατασχεθέντα, καὶ ὁδήγησον πρὸς θείαν τρίβον, ὅτι μόνος εἶ τῆς εἰρήνης Βασιλεύς.

(1) Ἐν τῷ Τριωδίῳ, τῇ Δ΄. Κυριακῇ τῶν Νηστειῶν, ἡ Ε΄. Ὠδὴ τοῦ πρώτου Κανόνος κεῖται πρὸς Εἱρμὸν ἀρχόμενον, « Ἐκ νυκτὸς ὀρθρίζοντες », ὃν οὐχ εὕρομεν ὁλόγραφον.

(2) Ἐν ἄλλοις κεῖται « τοῦ διαυγάσαι τὴν νύκτα εἰς φῶς ».

Κύριε ὁ Θεὸς ἡμῶν, ῥῦσαι ἡμᾶς· Κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν· λάμψον ἐπὶ πάντας τὸ φῶς σου.

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται εἰς πτῶσιν, οἱ τῆς εἰκόνος σου Θεοτόκε ὑβρισταί· ἀρθήτωσαν μέσον ἡμῶν, ἵνα μὴ ἴδωσι τὴν δόξαν σου, ἀνοηταίνοντες· διότι φῶς καὶ εἰρήνη, τοῦ σοῦ Υἱοῦ τὰ προστάγματα.

Τὸ φῶς τὸ ἀπρόσιτον Χριστὲ, τὴν ζωὴν τὴν αἰώνιον, ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε, τὸν μόνον φωτοδότην Θεόν.

## ΩΔΗ ς΄.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο· ἐγὼ δὲ ἐβόησα, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με, ἡ δεξιά σου Κύριε.

### ΔΙΑΦΟΡΟΙ.

Μαινομένην κλύδωνι, ψυχοφθόρῳ Δέσποτα Χριστὲ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς, ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

Τοῦ κήτους τὸν Προφήτην ἐλυτρώσω, ἐμὲ δὲ ἐκ βυθοῦ τῶν ἁμαρτημάτων, ἀνάγαγε Κύριε καὶ σῶσόν με.

Ὡς τὸν Προφήτην τοῦ θηρὸς, ἐῤῥύσω Κύριε, κἀμὲ τοῦ βυθοῦ τῶν ἀκαθέκτων παθῶν, ἀνάγαγε δέομαι, ἵνα προσθήσω τοῦ ἐπιβλέψαι με, πρὸς ναὸν τὸν ἅγιόν σου.

Ἐβόησεν ἐκ τῶν ἐσχάτων ὁ Ἀδάμ· Ὁ Θεός μου ῥῦσαί με τὸν παραπεσόντα, καὶ ὁμοιωθεὶς, ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Εἰς βάθη ἀπέῤῥιμμαι θαλάσσης· ἐκ τῶν ἀναγκῶν μου ῥῦσαί με· ὥσπερ ἐκ τοῦ κήτους ἀνήγαγες τὸν Προφήτην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰωνᾶν οὕτω κἀμὲ δέομαι, προφθάσας διάσωσον, ἐκ τῶν τοῦ βίου κακῶν.

Ἐκ κοιλίας ᾄδου κραυγῆς μου, ἤκουσας φωνῆς μου, καὶ ἐῤῥύσω ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Ζάλη κατέσχε με Σωτὴρ ἁμαρτημάτων, καὶ τὴν ψυχήν μου κατάγει ψυχοφθόρῳ βόθρῳ· ἀλλ' ὡς τὸν πάλαι Ἰωνᾶν Χριστὲ ἀνάγαγε, ὅπως θύσω σοι κἀγὼ μετὰ φωνῆς αἰνέσεως.

Κήτους γαστέρα ὑποδὺς ὁ Ἰωνᾶς, οὐκ ἐφθάρη Δέσποτα τῷ σῷ προστάγματι, ἀλλὰ προτύπωσις γέγονε, τῆς τριημέρου ταφῆς σου· διὸ σοι ἐκραύγαζεν. Ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ Κύριε.

## ΩΔΗ Ζ'.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Ο ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

### ΔΙΑΦΟΡΟΙ.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ βλέπων ἀβύσσους, καὶ ἐπὶ θρόνου δόξης καθήμενος, ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Ὁ ὑπερυψούμενος, τῶν Πατέρων Κύριος, τὴν φλόγα κατέσβεσε, τοὺς Παῖδας ἐδρόσισε, συμφώνως μελῳδοῦντας· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Πυρὸς σβεστήριον, τῶν Παίδων ἡ προσευχή· δροσίζουσα κάμινος, κήρυξ τοῦ θαύματος, μὴ φλογίζουσα, μηδὲ συγκαίουσα, τοὺς ὑμνολόγους Θεοῦ, τῶν Πατέρων ἡμῶν.

Αἰνετὸν ὑπάρχει, καὶ δεδοξασμένον τὸ ὄνομά σου Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, εἰς πάντας τοὺς αἰῶνας, καὶ αἰνετὸς καὶ δεδοξασμένος, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ δι' Ἀγγέλου τοὺς Παῖδας διασώσας, καὶ τὴν βροντῶσαν κάμινον μεταβαλὼν εἰς δρόσον, εὐλογητός εἶ Κύριε ὁ Θεὸς εἰς τὺς αἰῶνας.

Ὁ τῶν Πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ εἰς τὺς αἰῶνας.

Ὁ τὴν κάμινον σβέσας, ἐν Βαβυλῶνι τῦ πυρὸς, καὶ τὺς Παῖδας ἐν αὐτῇ, ὡς ἐν θαλάμῳ φυλάξας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τὺς Παῖδας ἐν καμίνῳ δι' Ἀγγέλου φυλάξας, προμηνύων δι' αὐτῶν τὴν τεκοῦσαν σε ἄφθορον Παρθένον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὑψουμένη κάμινος, καὶ θυμὸς τυραννικὸς, τὺς εὐσεβεῖς οὐκ ἐπτόησε Παῖδας, θαρσαλέως βοῶντας· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεὸν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ Παρθένου Μητρὸς, Ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### ΔΙΑΦΟΡΟΙ.

Ἀγγέλων σύστημα, ἀνθρώπων σύλλογος, τὸν Βασιλέα, καὶ Κτίστην τῦ παντὸς, Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Οἱ ὅσιοί σου Παῖδες, ἐν τῇ καμίνῳ Χριστὲ, ἀνυμνοῦντες ἔλεγον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σοὶ τῷ παντουργῷ, ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες χρείαν ἔμελπον. Πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν ποιητὴν τῆς κτίσεως, ὃν φρίττȣσιν Ἄγγελοι, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πάντα τὰ ἔργα τȣ̃ Θεȣ̃, καὶ πᾶσα κτίσις εὐλογεῖτε τὸν Κύριον.

Σὲ τὸν ποιητὴν, καὶ μεθιστῶτα φύσιν, καὶ τὴν ἄμετρον φλόγα δροσίσαντα, ὑμνȣ̃μεν Ὑπερένδοξε, καὶ ὑπερυψȣ̃μεν εἰς πάντας τȣ̀ς αἰῶνας.

Τῆς Τριάδος τὴν δόξαν, θεοσεβεῖς τυπώσαντες Παῖδες, κάμινον πάλαι πυρὶ φλεγομένην, εἰς δρόσον μετέβαλον, καὶ ὑμνȣ̃ντες ἔψαλλον· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸν Βασιλέα Χριστὸν, ὃν ὑμνεῖ τὰ Χερουβὶμ. καὶ δοξάζει τὰ Σεραφὶμ, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψȣ̃τε εἰς πάντας τȣ̀ς αἰῶνας.

Τὸν δροσίσαντα τὴν κάμινον, καὶ Παῖδας φυλάξαντα ἐν μέσῳ καιομένης φλογὸς, παῖδες δοξολογεῖτε, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψȣ̃τε, εἰς πάντας τȣ̀ς αἰῶνας.

Τὸν ἐκ Πατρὸς γεννηθέντα, πρὸ αἰώνων Θεὸν Λόγον, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψȣ̃τε, εἰς πάντας τȣ̀ς αἰῶνας.

Τὸν τȣ̃ παντὸς δημιȣργὸν, καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Τὸ πατρικὸν δόγμα φρονȣ̃ντες, Νέοι τρεῖς ἐν Βαβυλῶνι, ἀθέῳ προστάγματι εὐσεβῶς μὴ πειθόμενοι, καταδίκης μέσον πυρὸς ἑστῶτες ἐβόων· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίȣ τὸν Κύριον.

Τῷ δημιȣργῷ τῶν ἁπάντων, θεοφόροι Παῖδες ἐν καμίνῳ, τὸν ὕμνον προσήγαγον, καὶ ὑμνȣ̃ντες ἐβόων· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίȣ τὸν Κύριον.

## ΩΔΗ Θ'.

### ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον, Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον, ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΔΙΑΦΟΡΟΙ.

Ἠσαΐα χόρευε· ἡ Παρθένος ἔσχεν ἐν γαστρὶ καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουήλ, Θεόν τε καὶ ἄνθρωπον· Ἀνατολή, ὄνομα αὐτῷ· ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν.

Μεγαλύνομεν Χριστέ, τὴν σὴν πανάμωμον Μητέρα ἁγνήν, ὅτι ἔτεκέ σε ὑπερφυῶς κατὰ σάρκα, πάσης πλάνης καὶ καταφθορᾶς, ἡμᾶς ἐκλυτρούμενον.

Ὅτι ἐποίησέ σοι μεγαλεῖα ὁ Δυνατός, Παρθένον ἀναδείξας σε, ἁγνὴν μετὰ τὴν κύησιν, ὡς τεκοῦσαν ἀσπόρως τὸν ἑαυτῆς Ποιητήν· διό σε Θεοτόκε μεγαλύνομεν.

Σὲ τὴν μακαρίαν ἐν γυναιξί, καὶ εὐλογημένην ὑπὸ Θεοῦ, τῶν ἀνθρώπων τὸ γένος ἐν ὕμνοις μεγαλύνομεν.

Ἡ γαστήρ σου ὤφθη πλατυτέρα τῶν οὐρανῶν, καὶ ἐνδοξοτέρα· θαυμάτων γὰρ ὑπερτέρα μόνη ἐδείχθης. Θεοτόκε, τεκοῦσα τὸν ἀχώρητον καὶ ἀΐδιον Θεόν· κατὰ χρέος σὲ βροτῶν τὸ γένος, ἀπαύστως μεγαλύνομεν.

Ῥάβδος βλαστήσασα Δαυϊτικῆς ἐκ ῥίζης, Θεοτόκε πανύμνητε, ἄνθος ὡραιότατον ἡμῖν ἀνέτειλας, τῆς ἀρχαίας πρόξενον μακαριότητος· διό σε πάντες ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ἀπείρανδρον Νύμφην, καὶ Μητέρα τοῦ Λόγου, τὴν ἁγίαν Παρθένον μεγαλύνομεν.

Σὲ τὴν δούλην, καὶ Μητέρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Θεοτόκε, ἐπαξίως μεγαλύνομεν.

Σὲ τὴν τοῦ Θεοῦ Μητέρα, καὶ Παρθένον ἁγνήν, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέραν, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν.

Σὲ τῷ ἀφράστῳ λόγῳ, τὸν Κτίστην συλλαβοῦσαν ἐν γαστρὶ μεγαλύνομεν· χαρὰν γὰρ τεκοῦσα, ζωὴν πᾶσιν ἐδωρήσω Παμμακάριστε.

Ὢ θαῦμα! καὶ γὰρ θαῦμα, τὸ τελούμενον ἐν σοὶ Θεοτόκε· καινοτομεῖται φύσις, καὶ Θεὸς ἄνθρωπος γίνεται· ὃν ἐν δυσὶ ταῖς φύσεσι, θεολογοῦντες μεγαλύνομεν.

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ ΠΛ΄. Β΄.

## ΩΔΗ Α΄.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον, φάτνῃ κρυπτόμενον, κτεῖναι ζητεῖ ὁ Ἡρώδης· ἀλλ' ἡμεῖς σὺν Μάγοις μέλψωμεν· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον, τὰ Ἰορδάνεια, ῥεῖθρα συστέλλει καὶ κρύπτει, τὴν ἐμὴν νῦν καθαιρόμενον, ἀνθρωπίνως κάθαρσιν· Ἐνδόξως γὰρ δεδόξασται.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Τμηθείσῃ τμᾶται, πόντος ἐρυθρὸς, κυματοτρόφος δὲ ξηραίνεται βυθός· ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατὸς, καὶ πανοπλίταις τάφος· ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο· Ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ παῖδες· ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΔΙΑΦΟΡΟΙ.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν· ἐνδόξως γὰρ δεδόξασται.

Ὁ αἰσθητὸς Φαραώ, κατεποντίσθη πανστρατί· Ἰσραὴλ δὲ διελθών, ἐν μέσῳ τῆς θαλάσσης, ἀνεβόα· Κυρίῳ, τῷ Θεῷ ἡμῶν ᾄσωμεν, ὅτι δεδόξασται.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραώ, καθορῶν ποντούμενον, Θεῷ, ἐπινίκιον ᾠδήν, ἐβόα ᾄσωμεν.

Αἰγυπτία μὲν χείρ, τὸν Ἰσραὴλ τυραννᾶσα, ἐν τῇ θαλάσσῃ ᾤχετο, δυνάμει τᾶ Σταυρᾶ· Ἰσραὴλ δὲ Ὠδὴν ἀνέμελπε, τῷ λυτρωτῇ, καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἅρματα Φαραώ, καὶ τὴν δύναμιν αὐτᾶ ἐν ὑψηλῷ βραχίονι, Χριστὸς κατεπόντισε, καὶ Ἰσραὴλ διέσωσεν· ἀναπέμποντες ᾠδήν, τῷ θαυμαστῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ἐκ δαλείας τὸν Ἰσραὴλ ἐλευθερώσαντι, τῶν Αἰγυπτίων διὰ Μωϋσέως, ὕμνον ἀπαύςως Χριστῷ τῷ Βασιλεῖ, καὶ Θεῷ ἡμῶν.

Διελθόντες τὴν θάλασσαν οἱ υἱοὶ Ἰσραήλ, καὶ καθορῶντες τὸν Φαραὼ βυθισθέντα, ἐν αὐτῇ εὐχαρίςως ἔψαλλον· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἐπαιρομένην θάλασσαν, ἀβρόχοις τοῖς ποσί, διαπερῶν ὁ πάλαι Ἰσραήλ, ὡς ἑώρα ποντάμενον, τὸν ἀλαζόνα Φαραώ, χαρμονικῶς ἀνεκραύγαζεν· Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι παράδοξα τέρατα.

## ΩΔΗ Β'.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας, πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου, τῇ μόνῃ δεξιᾷ, καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριςὸν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

## ΩΔΗ Γ'.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Κύριος ὢν πάντων, καὶ κτίστης Θεὸς, τὸ κτιστὸν ὡς συμπαθὴς πτωχεύσας, ἑαυτῷ ἥνωσε· καὶ ὡς βρέφος φαινόμενος σαρκὶ, ἐν φάτνῃ πενιχρᾷ προσκυνεῖται, Φάγετε βοῶν τὸ σῶμά μου, καὶ πίστει στερεωθήσεσθε.

### ΕΤΕΡΟΣ.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ σπηλαίῳ τικτόμενον, θάμβει πολλῷ συνείχετο, Οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε κραυγάζουσα.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Κύριος ὢν πάντων, καὶ κτίστης Θεὸς, τὸν Ἀδὰμ ὁ πλαστουργὸς φορέσας, ἑαυτῷ ἥνωσε, καὶ φθαρέντα καινίσαι βεληθεὶς, μολεῖ πρὸς Ἰορδάνην κραυγάζων· Ὕδωρ τῆς ζωῆς ἀντλήσατε, καὶ πίςει στερεωθήσεσθε.

### ΕΤΕΡΟΣ.

Σὲ τὸν ἐπὶ ὑδάτων, ἑδράσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, σαρκὶ ῥυπτόμενον νάμασι, θάμβει πολλῷ συνείχετο, Οὐκ ἔςιν ἅγιος, πλήν σου Κύριε κραυγάζουσα.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Κύριος ὢν πάντων, καὶ κτίστης Θεὸς, τὸ κτιςὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ἀπαθὴς πτωχεύσας, ἑαυτῷ ἥνωσε, καὶ τὸ Πάσχα οἷς ἔμελλε θανεῖν, αὐτὸς ὢν ἑαυτὸν προετίθη, Φάγετε βοῶν τὸ σῶμά μου, καὶ πίστει στερεωθήσεσθε.

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο, Οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

### ΔΙΑΦΟΡΟΙ.

Ἐν τῇ στερρᾷ τῆς πίστεώς σου πέτρᾳ, τὸν λογισμὸν ἑδράσας τῆς ψυχῆς μου, στερέωσον Κύριε· σὲ γὰρ ἔχω Ἀγαθὲ, καταφυγὴν καὶ στερέωμα.

Ἐπὶ τὴν ἀσάλευτον Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, στερέωσόν μου τὴν διάνοιαν.

Οὐκ ἔστιν ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου.

Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, σαλευθεῖσαν τὴν καρδίαν μου, ὅτι μόνος ἅγιος ὑπάρχεις καὶ Κύριος.

Ἐν στέρνοις καρδίας, καὶ ψυχῆς μου κράζω σοι, ὡς ἡ Προφῆτις Ἄννα· ὡς ἐκείνῃ δέδωκας δι' εὐχῆς τὸν Σαμουὴλ, κἀμοὶ δώρησαι Κύριε καρπὸν μετανοίας.

Ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, ὅτι ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ὅτι ἐπέστη λυτρωτής μου καὶ Θεὸς, ἐκ δαιμόνων πλάνης λυτρούμενος.

Κύριε σωτήρ μου, καὶ κτίστα Θεὲ τῶν ὅλων, ὁ τὴν γῆν ἐπ' οὐδενὸς προστάξει, καταρχὰς βρίθουσαν στερεώσας, στερέωσον κἀμὲ τῇ πίστει, τοῦ βοᾶν σοι ἐν εὐφροσύνῃ· Σύ μου ἰσχὺς, δύναμις, ὅπλον καὶ καταφύγιον.

Στερέωσον Κύριε τὴν Ἐκκλησίαν σου, ὁ ἐν συνέσει με-

τεωρίσας τοὺς οὐρανοὺς, εἰς τὸ ὑμνεῖν τὴν ἄχραντον οἰκονομίαν σου φιλάνθρωπε.

Στερέωσόν με Χριστὲ, καὶ βεβαίωσόν με ἐν σοί· καὶ τῷ φωτισμῷ τῆς γνώσεώς σȣ δίδαξόν με.

Τὴν ἀπόῤῥητόν σου δύναμιν, καὶ συνεκτικὴν τῶν ἁπάντων σοφίαν σȣ, φρίττω ἐννοῶν, καὶ βοῶ σοι Ἀγαθέ· Κατ' ἐχθρῶν ὑψωθήτω Χριστὲ τὸ κέρας μȣ.

## ΩΔΗ Δ'.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Τὴν ἐκ Παρθένου παρουσίαν σου, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα· Σὺ ἐκ Θαιμὰν σαρκούμενος, ἥκεις Λυτρωτὰ, τὸν Ἀδὰμ ἀπωσμένον, ἀνακαλέσασθαι.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου σου τὸ ἀπόῤῥητον, Χριστὲ προανεφώνησεν· Ἔθου κραταιὰν Βαπτίσματος τὴν χάριν τοῖς πίστει, τοῦτο δεχομένοις ἅπασιν, εἰς λύτρωσιν τῶν ἀμπλακημάτων ἡμῶν.

### ΕΤΕΡΟΣ.

Τὴν πρὸς τὸ Βάπτισμά σου ἔλευσιν, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα· Εἰς θάλασσαν τοὺς ἵππους σȣ, ὕδατα πολλὰ, ἐπεβίβασας Σῶτερ, διαταράσσοντας.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου σου τὸ ἀπόῤῥητον, Χριστὲ προανεφώνει σοι· Ἔθου κραταιὰν, ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον· τὸν μονογενῆ Υἱὸν γὰρ ἀγαθὲ, ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα· Σὺ δυναστῶν διέκοψας, κράτος, Ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν ᾅδου, ὡς παντοδύναμος.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκήκοεν ὁ Προφήτης, τὴν ἔλευσίν σου Κύριε καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν· Ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐκάλυψεν οὐρανοὺς, ἡ ἀρετή σου Χριστὲ, καὶ τῆς σῆς αἰνέσεως Κύριε, τὰ πάντα πεπλήρωται.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Ἀκηκοὼς τὰ προστάγματα, παριδὼν δὲ Κύριε, καὶ τὴν ὁδόν σου μὴ φυλάξας τεθανάτωμαι· αὐτός με ἀνάστησον Σωτὴρ ἡ ἐλπίς μου, δι' ἐμὲ πτωχεύσας, σάρκα βροτείαν λαβών.

Ἀναβήσομαι εἰς ὕψος αἰνέσεώς σου, καὶ λαὸν περιούσιον εὐαγγελίσομαι, ἀνάπαυσιν ἐκ καταδίκης τῆς βρώσεως, ὁ Προφήτης ἔλεγεν· ὁ γὰρ Λόγος παχυνθεὶς, ἐκ Παρθένου ἡμῖν ἐπέφανε.

Ἀνεκαίνισας τὸ κάλλος τῆς σῆς εἰκόνος· πρὸς γὰρ ταύτην ἐκ πατρῴων κατελήλυθας κόλπων· καὶ βοῶμέν σοι· Δόξα τῇ δυνάμει σου Φιλάνθρωπε.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Τῆς σῆς ἀῤῥήτου σαρκώσεως, Λυτρωτὰ τοῦ παντὸς

ὁ Προφήτης Ἀββακὺμ, καθαρθεὶς πνεύματι τὸ μυστήριον, ἐξεστηκὼς ἐβόα· Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσεται, ὁ ἀμήτωρ ἐκ Πατρὸς, ἐπ' ἐσχάτων τῶν χρόνων σαρκούμενος.

## ΩΔΗ Ε'.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· Ἡ Παρθένος ἰδοὺ γαστρὶ, ἕξει καὶ τέξεται σαρκούμενον Λόγον, καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

### ΕΤΕΡΟΣ.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι, κενώσαντα ἀτρέπτως, καὶ δούλου μορφὴν, ἐκ Παρθένου φορέσαντα, Λόγε Θεοῦ· τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

### ΕΤΕΡΟΣ.

Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδεόμενοι ὡς φιλάδελφοι, τῷ δεσπόζοντι τῶν ὅλων, τῷ κόσμον ἄγαν ἀγαπήσαντι, καὶ δόντι λύτρον Υἱὸν τὸν ἀγαπητὸν, δῶμεν δόξαν νέμοντι, πᾶσιν εἰρήνην.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· Οἱ πεφωτισμένοι ἥκατε λούσασθε, καὶ δι' ὕδατος Θείου καὶ Πνεύματος σαφῶς, καὶ ψυχὴν καὶ τὸ σῶμα ἀποκαθάρατε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι, κενώσαντα ἀτρέπτως, καὶ δούλου χειρὶ, βαπτισθῆναι θελήσαντα, Λόγε Θεοῦ· τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

### ΕΤΕΡΟΣ.

Τῷ συνδέσμῳ τῆς δειλίας, συνεχόμενος νῦν ὁ Πρόδρομος, παραιτεῖται τὸ βαπτίζειν, εὐλαβῶς Χριστὸν θεασάμενος, γυμνὸν ἑστῶτα ἐπὶ τοῦ ὕδατος, ὕδατι στεγάζοντα τὰ ὑπερῷα.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδεόμενοι οἱ Ἀπόστολοι, τῷ δεσπόζοντι τῶν ὅλων, ἑαυτοὺς Χριστῷ ἀναθέμενοι, ὡραίους πόδας ἐξαπενίζοντο, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι, κενώσαντα ἀτρέπτως, καὶ μέχρι παθῶν, ἀπαθῶς ὑποκύψαντα, Λόγε Θεοῦ· τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

### ΔΙΑΦΟΡΟΙ.

Ἐκ νυκτὸς ὀρθρίζοντα Φιλάνθρωπε, φώτισον δεό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαι, καὶ ὁδήγησον κἀμὲ, ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με Σωτὴρ, ποιεῖν τὸ θέλημά σου.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ Χριςὲ, φώτισον τὴν καρδίαν μϐ, ἐκ νυκτός σοι κραυγάζοντα, καὶ σῶσόν με.

Τῷ θείῳ φέγγει σου Ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ἔθετο ἐπὶ βημάτων μου ἀχλὺν, ὁ παγκάκιστος ἐχθρὸς Κύριε· ἀλλὰ σὺ καταύγασόν φωτοδότα Λόγε, καὶ τῆς τούτου με ῥῦσαι κατακρίσεως.

Ἐκ νυκτὸς τὴν ᾠδὴν ἀναπέμπομέν σοι· ἀντικατάπεμψον ἡμῖν τὸ ἔλεός σου Κύριε· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σϐ ἄλλον ὐκ οἴδαμεν.

Προβλεπτικῶς Ἡσαΐας, κατανοῶν τὴν ἄσπορον κύησιν, τὴν σὴν Παρθένε ἔκραζεν· Ἰδϐ ἐν γαστρὶ λήψεται, Παρθένος τεκοῦσα Λόγον, τὸν μονογενῆ Υἱόν τε τϐ Πατρὸς, τὸν σὺν Πνεύματι θείῳ δοξολογϐμενον.

Σκοτομήνη σε ψυχή μϐ κατέλαβε, τῶν ἀθέσμων πράξεων, ὧν εἰργάσω ἐν τῷ βίῳ τϐτῳ· ἀλλὰ μὴ παύσῃ κραυγάζϐσα· Ὁδηγὲ τϐ φωτὸς, καὶ λυτρωτὰ τϐ παντὸς, τὴν ἐσκοτισμένην ψυχήν μϐ φωταγώγησον, πρὸς φῶς τὸ ἀνέσπερον.

Σοὶ πέποιθα Κύριε, καὶ πρὸς σὲ ὀρθρίζω τὸ ὑπέρθεον κάλλος· τὴν ψυχήν μϐ εὔφρανον, τῷ φωτὶ τῆς θεογνωσίας σϐ, καὶ σῶσόν με.

Τὸ φῶς καὶ τὴν εἰρήνην σϐ Χριστὲ, τοῖς δϐλοις σϐ παράσχου ἀγαθέ· σὺ γὰρ πέλεις πάντων εἰρήνη, καὶ σύνδεσμος ἀγάπης φιλάνθρωπε, τοῖς σὲ ἐγνωκόσιν ὄρθρον φαεινὸν, καὶ Δεσπότην ὄντως καὶ Κύριον.

## ΩΔΗ Ϛ'.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς· σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ τεχθέντος καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαρκὶ φανέντος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε· γεννηθεὶς γὰρ νῦν τὸ κατὰ σάρκα, καὶ ταφὴν καὶ θάνατον σαρκὶ ὑπελθὼν, μέλλεις ἀναστήσεσθαι τριήμερος.

## ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, φόβῳ ὁ θεῖος Βαπτιστής· εἰ γὰρ καὶ συνεστάλη, προσεγγίσαι τῷ πυρὶ ὁ χόρτος, ἀλλὰ ἀκούσας, Ἄφες ἄρτι, ἔδραμε, τὸ ἐπίταγμα πληρῶν ὡς δοῦλος. Θείας τε ἄνωθεν, μαρτυρούσης φωνῆς, ἤκουσεν Υἱὸν τὸν προαιώνιον.

## ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Ἄβυσσος ἐσχάτη, ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν κλύδωνα μηκέτι φέρων, ὡς Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι· Ἐκ φθορᾶς με ἀνάγαγε.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς· σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε· προσεφώνει δὲ τῇ κουστωδίᾳ· Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπετε.

## ΔΙΑΦΟΡΟΙ.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου, ἐξ ᾅδου κατωτάτων, καὶ ἀνήγαγεν, ἐκ φθορᾶς τὴν ζωήν μου.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Τῷ κήτει καταποθεὶς, τῷ τῆς ἁμαρτίας, κραυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γάζω σοι Χριστέ· Ὡς τὸν Προφήτην, ἐκ φθορᾶς με ἐλευθέρωσον.

Ἀνεκφράστοις, καὶ βαθείαις θλίψεσι, κείμενος ὁ λαός σου Κύριε, κραυγάζει σοι Δέσποτα. Ἀνάγαγε τὴν ζωήν μου ἐκ φθορᾶς, ὁ δείξας τὴν ἀνάστασιν.

Θηρὶ ἀβύσσου παραδίδεται, ὁ Προφήτης Ἰωνᾶς, μυχοῖς θαλάσσης προτυπῶν σου Λόγε, τὴν τριήμερον ἔγερσιν· διὸ καὶ ἀνεβόα· Ἐκ βυθοῦ κατωτάτου, ἀνάγαγε τὴν ζωήν μου εὔσπλαγχνε.

Περιεκύκλωσέ με ἄβυσσος ἐσχάτη τῆς ἁμαρτίας, καταπέπτωκέ με πλῆθος τῶν κακῶν μου, καὶ στένων βοῶ σοι· Ὁ Θεός μου, ὡς τὸν Προφήτην Ἰωνᾶν, λύτρωσαι πολυέλεε.

Τῷ κήτει συνεχόμενος τῶν πταισμάτων, βοῶ σοι Χριστέ μου σὺν τῷ Προφήτῃ. Ἀνάγαγε ἐκ φθορᾶς, τὴν ζωήν μου, καὶ διάσωσόν με.

## ΩΔΗ Ζ΄.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖδας ἐκ φλογός, φάτνῃ πενιχρᾷ βρέφος ἀνακέκλιται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖδας ἐκ φλογός, κλίνει κορυφήν, καὶ αἰτεῖ τὸ Βάπτισμα, ὑπὸ τοῦ δούλου, καθαίρων τοὺς βοῶντας· Λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Οἱ Παῖδες ἐν Βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν, ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενοι ἔψαλλον· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

### ΔΙΑΦΟΡΟΙ.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς ὁσίοις Παισί· τοὺς Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, τὸν τύραννον ἔπεισε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Ὁ τῶν ὁσίων σου Παίδων, τὸν ὕμνον ἐπακούσας, καὶ τὴν κάμινον καιομένην δροσίσας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐν βαβυλῶνι αἰχμάλωτοι, τρισαρίθμῳ ψήφῳ, βασιλεῖ ἀνόμῳ ἀνθίσταντο, προσκύνησιν εἰκόνος ψυχοφθόρου κεχρυσωμένης· ὅθεν μὴ πεισθέντες, ἐν καμίνῳ τοῦ πυρὸς ἀπερρίφθησαν, καὶ μελῳδοῦντες ἔψαλλον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐπεφάνη ἐφ' ἡμᾶς ἡ χάρις τοῦ Σωτῆρος, καὶ τὸ φῶς τοῦ Σταυροῦ σου κατέλαμψε τῷ κόσμῳ· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Οἱ εὐτάλαντοι, καὶ θεοκέρδιστοι ἔμποροι, τῷ σῷ ἔρωτι ἀφειδήσαντες Χριστὲ σωμάτων, σὲ τὸν ἄχραντον κατεκτήσαντο· ἀπαθῶς δὲ τὴν φλόγα πατοῦντες, εὐχαρίστως ἔψαλλον· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τῶν ὁσίων σου Παίδων, τὴν προσευχὴν ἐπακούσας,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὴν κάμινον καιομένην δροσίσας, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Σὺ τοὺς Παῖδας ἐν καμίνῳ Ζωοδότα, δι' Ἀγγέλου ἐδρόσισας λέγοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν ἐν ἐρήμῳ βάτον, ἀφλέκτως καιομένην, τυπικῶς τῶν Ἑβραίων τὴν κάμινον, ὑπογράφουσαν ἔδειξε, καὶ Παρθένου τύπον δηλῶν, ὁ τῶν θαυμασίων Θεὸς καὶ ὑπερένδοξος.

Τοὺς τρεῖς Νεανίας, οὐκ ἐφλόγισε πάλαι κορυφωθεῖσα ἡ φλόξ· ἀφειδῶς με ὁ καύσων τῶν παθῶν, πρὸς φθορὰν ἀπέθετο· ἀλλ' ὡς ἐκείνους ἐῤῥύσω, ἐλλάμψει τῇ σῇ ᾄδοντα σὺν αὐτοῖς με διάσωσον· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Ἔκστηθι φρίττων οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ σπαργάνοις συμπλέκεται, ὁ πάντα φέρων δρακὶ, καὶ φάτνῃ σμικρᾷ ξενοδοχεῖται· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### ΕΤΕΡΟΣ.

Στήλην κακίας ἀντιθέου, Παῖδες, θεῖοι παρεδειγμάτισαν· κατὰ Χριστοῦ δὲ φρυαττόμενος, Ἡρώδης θρασύνεται, βουλεύεται κενὰ, κτεῖναι μελετᾷ, τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Ἔκστηθι φρίττων οὐρανὲ, καὶ σαλευθήτωσαν, τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ ὕδωρ περιβάλλεται, ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φλέξας ὕδατα πρίν, Δικαίου θυσίας παραδόξως· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ΕΤΕΡΟΣ.

Στήλην κακίας, τοῦ δεινοῦ Ἡρώδου πάντες ἐκμυκτηρίσαντες, πρὸς Ἰορδάνην δεῦτε ἴωμεν, πιστοὶ ἵν' ὀψώμεθα, Χριστὸν τὸν λυτρωτήν, ὑπὸ Προδρόμου, βαπτιζόμενον σαρκὶ ἐν ῥείθροις· ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Νόμων πατρῴων οἱ μακαριστοὶ, ἐν Βαβυλῶνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγῆς ἀλογίστου· καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύθησαν πυρί, τοῦ κρατοῦντος ἐπάξιον, ἀνέμελπον τὸν ὕμνον· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ.

Στήλην κακίας ἀντιθέου, Παῖδες θεῖοι παρεδειγμάτισαν· κατὰ Χριστοῦ δὲ φρυαττόμενον, ἄνομον συνέδριον, βουλεύεται κενὰ, κτεῖναι μελετᾷ, τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Ἔκστηθι φρίττων οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις (1) οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται., ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

(1) Κεῖται παρά τισιν ἀντὶ τοῦ « οἰκῶν » Θεός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΔΙΑΦΟΡΟΙ.

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ Δικαίου θυσίας, ὕδατα ἔφλεξας· ἅπαντα γὰρ δρᾷς Χριστὲ, μόνῳ τῷ βούλεσθαι. Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεὸν Πατέρα δημιουργὸν, ὁμοούσιον Υἱὸν, καὶ θεῖον Πνεῦμα, οἱ ἐν φλογὶ Νεανίαι, ᾄδειν προτρέπονται· Εὐλογεῖτε τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ ὅσιοί σου Παῖδες ἐν τῇ καμίνῳ, τὰ Χερουβὶμ ἐμιμήσαντο, τὸν τρισάγιον ὕμνον ἀναβοῶντες· Εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε τὸν Κύριον.

Ὃν Στρατιαὶ οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῶν Παίδων τὴν ᾠδὴν, ἀναμέλψωμεν Χριστῷ, συμψάλλοντες αὐτοῖς· Εὐλογείτω τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀπειλῶν ὁ ἄναξ ποτὲ τοῖς Νεανίαις, κάμινον παρεσκεύασε, καὶ τοὺς ἀθώους προσέταξε βληθῆναι, ὁμολογοῦντας Θεὸν τὸν ὑπερένδοξον, ὃν εὐλογοῦσι τὰ ποιήματα πάσης τῆς κτίσεως εἰς τοὺς αἰῶνας.

Δύναμις τελεστικὴ, ἐν Βαβυλῶνι δείκνυται, Παῖδας ἐν φλογὶ θείῳ πνεύματι δροσίζουσα, καὶ τυράννου ἔπαρσιν καταφλέγουσα· Διὸ ἀνεβόων εὐσεβῶς. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οὐρανῶν πᾶσαι αἱ Δυνάμεις ὑμνοῦσί σε, τὸν ἀληθινὸν Θεόν.

Τῆς μουσικῆς συμφωνίας, καταφρονήσαντες οἱ Παῖδες, θεϊκὴν ὑμνῳδίαν ἐκ τῆς φλογὸς ἀνέμελπον λέγοντες· Ἱερεῖς εὐλογεῖτε, λαοὶ φυλαὶ καὶ γλῶσσαι, ὑπερυψοῦτε τὸν Κύριον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν συνοδεύσαντα Χριστὸν, τοῖς περὶ τὸν Κλεόπαν, καὶ τὰς προφητείας ἑρμηνεύσαντα αὐτοῖς, καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου τοὺς ὀφθαλμοὺς διανοίξαντα, καὶ ἐπιγνωσθέντα, πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τυράννου χρυσοχώνευτον στήλην, ὡς ἀντίθεον ἄγαλμα, οὐ προσεκύνησαν Παῖδες οἱ Σιωνῖται· ἀλλὰ θεοφορούμενοι, τὴν Περσικὴν κάμινον, ὥσπερ λειμῶνα ἡγοῦντο, καὶ τὴν φλόγα ὡς ψεκάζουσαν νεφέλην, καὶ χορεύοντες ἔψαλλον· Εὐλογεῖτε τὰ ποιήματα πάντα τὸν Κύριον.

Τῷ Βασιλεῖ τῶν αἰώνων Χριστῷ, τὸν ὕμνον εἴπωμεν τῶν Παίδων πιστοί. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

## ΩΔΗ Θ΄.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ.

Μὴ ἐκθαμβῇ νῦν ὦ Μῆτερ, καθορῶσα ὡς βρέφος, ὃν ἐκ γαστρὸς πρὸ ἑωσφόρου, τέτοκε Πατήρ· ἀναστῆσαι γὰρ καὶ συνδοξάσαι βροτῶν, πεπτωκυῖαν τὴν φύσιν, ἐλήλυθα σαφῶς, τὴν ἐν πίστει καὶ πόθῳ, σὲ μεγαλύνουσαν.

### ΕΤΕΡΟΣ.

Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν πενιχρῷ σπηλαίῳ, ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ δεῦτε ἀπολαύσωμεν, σεσαρκωμένον Λόγον, ἀπορρήτως μαθόντες· ὃν μεγαλύνομεν.

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Μὴ ἐποδύρεσθε μάτην, ἀπογνώσεως βρόχοις, ἀποπνιγόμενοι βροτοὶ, ὑπεύθυνοι κακῶν· ἀλλ᾽ ἐν κατανύξει ψυχῆς προσέλθωμεν, τῷ καθαίροντι πάντας, ὡς μόνῳ καθαρῷ, καὶ διδόντι συγγνώμην διὰ Βαπτίσματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΠΡΟΕΟΡΤΙΟΣ ΤΩΝ ΦΩΤΩΝ.

Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν πενιχρῷ σπηλαίῳ, πρὶν ἀπολαύσαντες, νῦν πρὸς Ἰορδάνην δράμωμεν, μυστήριον ὀψόμενοι ξένον, τὸ τῆς ἄνω λαμπρότητος πρόξενον.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ.

Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν ὑπερῴῳ τόπῳ, ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ δεῦτε ἀπολαύσωμεν, ἐπαναβεβηκότα λόγον, ἐκ τοῦ Λόγου μαθόντες· ὃν μεγαλύνομεν.

### ΤΗΣ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ.

Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς, συνέλαβες Υἱόν· ἀναστήσομαι γὰρ, καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεὸς, τοὺς ἐν πίστει καὶ πόθῳ, σὲ μεγαλύνοντας.

### ΔΙΑΦΟΡΟΙ.

Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος· Μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις, καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Ἡ τὸ Χαῖρε δι' Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ᾧ οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ δὲ Πάναγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις Στρατιαῖς σὲ μακαρίζομεν.

Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου· καὶ γὰρ πᾶσα ἡ δόξα σου Παρθένε ἔσωθεν, ὡς συλλαβοῦσα τὸν Κτίστην σου. Διὸ οἱ πλούσιοι τοῦ λαοῦ, τὸ πρόσωπόν σου λιτανεύοντες, σὲ μεγαλύνομεν.

Ἡ διὰ λόγου τὸν Λόγον μόνη κυήσασα, αἱρετικῶν τὰ στόματα, ἔμφραξον δυσφήμων, ἄλλος νέος οὐρανὸς, ἄσυλος Παράδεισος· Ἄχραντε, σὲ μεγαλύνομεν.

Ἴδε πύλη, ἴδε ὄρος ἅγιον, ἴδε ἡ παρθενεύουσα Μήτηρ, ἣν μεγαλύνομεν.

Μεγαλύνομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε Παρθένε, τὴν πηγὴν τῆς ζωῆς ἡμῶν.

Μητρικαῖς ἀγκάλαις Σεμνὴ ἐβάστασας, τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ τοῦτον μαζοτροφεῖς, δι' ἄκρον πάσης ἀγαθότητος, τοῦ Ἀδὰμ τὴν εἰκόνα μορφούμενον. Διὸ συνελθόντες βροτῶν τὸ σύστημα, καὶ σὲ τὴν κυήσασαν τὸ φῶς τοῦ κόσμου μεγαλύνομεν.

Τὴν αἰωνίαν εὑράμενοι λύτρωσιν, τῆς ἐκ προπάτορος Ἀδὰμ, ἄνωθεν ἐκφυείσης, τῷ γένει φρικτῆς ἀποφάσεως, τὸν σὸν τόκον σὺν Ἀσωμάτοις, τὸν ἀκατάληπτον δοξολογοῦμεν, Θεοτόκε σὲ ὕμνοις μεγαλύνοντες.

Τὴν ἀλοχεύτως τεκοῦσαν, τὸν ἕνα τῆς Τριάδος, τὸ ἡμέτερον ὅλον, δίχα φθορᾶς ἀναλαβόμενον, ὃν αἱ πατριαὶ τῶν ἐθνῶν προσκυνοῦσι, Παρθένε σὲ μεγαλύνομεν.

Τὴν βάτον τὴν νοητὴν, τὴν πάλαι ἐν τῷ ὄρει θεαθεῖσαν Μωϋσῆ, ἀφλέκτως καιομένην, σὲ τὴν ἄχραντον καὶ ἁγίαν Παρθένον, συμφώνως ἐν ὕμνοις μεγαλύνομεν.

Χαῖρε σεμνὴ Παναγία, Παρθένε μόνη πανύμνητε· σὲ δοξάζει πᾶσα κτίσις, τὴν Μητέρα τοῦ φωτός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ ΒΑΡΥΝ.

## ΩΔΗ Α΄.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι· ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

### ΔΙΑΦΟΡΟΙ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ βυθίσαντι πᾶσαν τὴν δύναμιν, Φαραὼ ἐν θαλάσσῃ, ἐπινίκιον ᾠδὴν, ὅτι δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι θαυμαστὰ τέρατα, ἐν Ἐρυθρᾷ θαλάσσῃ ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Νεύσει σου πρὸς γεώδη, ἀντιτυπίαν μετήχθη, ἡ πρὶν εὐδιάχυτος, ὑδάτων φύσις Κύριε· ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι, ᾠδὴν ἐπινίκιον.

Τῷ ἐκτινάξαντι Θεῷ, τὸν Φαραὼ ἐν θαλάσσῃ Ἐρυθρᾷ, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ συνεργήσαντι Θεῷ, Μωϋσῇ ἐν Αἰγύπτῳ, ἐξαγαγεῖν τὸν Ἰσραὴλ, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ συντρίψαντι πολέμους, ἐν βραχίονι αὐτοῦ, καὶ ἀναβάτας τριστάτας βυθίσαντι, ᾄσωμεν αὐτῷ, ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἄσωμεν ἐν ᾄσματι, μεγαλωσύνην τῷ Θεῷ, τῷ Λυτρωτῇ ἡμῶν.

Ἐγχθονίους ὁ Ἰσραὴλ, βυθοῦ πυθμένας ἰδὼν, ἀβρόχῳ ᾆσμα ποδὶ διεπέρασε μέλπων· Τοὺς τριστάτας ποντίσας γὰρ ἔκλυσεν.

Μωσαϊκὴ ῥάβδος, θεϊκῇ δυναστείᾳ, τὴν ἐρυθρὰν διῆλθε θάλασσαν, καὶ διήγαγε λαὸν, ὑμνοῦντα, καὶ λέγοντα· Ἄσωμεν τῷ θαυμαστῷ Θεῷ ἡμῶν, ἐπινίκιον ᾠδὴν, ὅτι δεδόξασται.

Τῷ βυθίσαντι τὸν Φαραὼ, ἐν Ἐρυθρᾷ θαλάσσῃ, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ ἐν ῥείθρῳ Ἐρυθρᾶς, τεῖχος ποιήσαντι καὶ διδόντι τῷ λαῷ, καὶ καλύψαντι βυθῷ Φαραὼ πανστρατιὰν, ᾄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

## ΩΔΗ Β'.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ θύρας οὐρανοῦ ἀνεῴξας, καὶ βρέξας μάννα λαῷ ἐκλεκτῷ, ὡς δυνατά μοι πάντα· ποιῶ γὰρ ὅσα βούλομαι.

Ὁ λαὸς προσέχετε Θεοῦ τὴν συγκατάβασιν· ὅτι ἐκ Παρθένου ἁγίας ἐτέχθη, ὡς ηὐδόκησεν· αὐτῷ δῶμεν δόξαν καὶ αἴνεσιν.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν τὸν Σωτῆρα τοῦ κόσμου, τὸν μόνον φιλάνθρωπον.

## ΩΔΗ Γ'.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Τὴν ἐξ ὕψους δύναμιν τοῖς Μαθηταῖς Χριστὲ, ἕως ἂν ἐνδύσησθε, ἔφης, καθίσατε ἐν Ἱερουσαλὴμ· ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε, καὶ Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΔΙΑΦΟΡΟΙ.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, καὶ ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου.

Ἐστερεώθη τῇ πίστει, Χριστοῦ ἡ Ἐκκλησία· καὶ γὰρ ἀπαύστως ἐν ὕμνοις, βοᾷ μελῳδοῦσα· Ἅγιος εἶ Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ὁ καταρχὰς τοὺς οὐρανούς, παντοδυνάμῳ σου Λόγῳ, στερεώσας Κύριε Σωτήρ, καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι, πᾶσαν τὴν δύναμιν αὐτῶν, ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῆς ὁμολογίας σου στερέωσον.

Ὁ οὐρανοὺς τῷ λόγῳ στερεώσας, καὶ τὸν τῆς γῆς θεμέλιον ἑδράσας, ἐπὶ ὑδάτων πολλῶν, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου μόνε Φιλάνθρωπε.

Στερέωμά μου γενοῦ, ὁ λόγῳ στερεώσας τοὺς οὐρανούς, καὶ ἑδράσας τὴν γῆν ἐπὶ ὑδάτων, ῥῦσαι ὡς Θεὸς πάσης περιστάσεως.

Ἐν τῇ ὀρθοδόξῳ πίστει τῆς ὁμολογίας σου, στερέωσόν με Κύριε, ἵνα μὴ σαλεύσῃ με ὁ ἐχθρὸς εἰς τέλος.

Ἐπὶ ὑδάτων τὴν γῆν θεμελιώσας, Λόγε Χριστὲ ὁ Θεός, καὶ ἡμῶν τὰς καρδίας δοξάζειν στερέωσον.

Ὁ ἐν ὑγροῖς βρίθουσαν τὴν γῆν, ἑδράσας Παντοδύναμε ὕδασι, καὶ οὐρανοὺς ἐπ' οὐδενὸς τῷ λόγῳ πηξάμενος· τὸν ἔνδον κατακαμφθέντα μου πάθεσιν ἄνθρωπον, ἀνελκύσας Χριστὲ τῇ ἀσείστῳ σου πίστεως πέτρᾳ στερέωσον.

Ὁ ἐξ ἀνάρχου Πατρὸς Λόγος, Υἱὲ μονογενές, φώτισον τὰς καρδίας ἡμῶν.

Στήριξόν με Χριστὲ πρὸς σὴν δοξολογίαν, καὶ βεβαίωσον ψάλλειν τῆς Ἄννης τὴν ᾠδήν σοι, ὑμνῶν ἐν πᾶσιν· Ἅγιος εἶ Κύριε, ὁ συνέχων τὰ πάντα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Δ'.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Κατανοῶν ὁ Προφήτης, τὴν ἐπ' ἐσχάτων σου Χριστὲ ἔλευσιν, ἀνεβόα· Τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοα τὴν ἀκοήν σου Κύριε, ὅτι ὤφθης ἐπὶ γῆς, διὰ τὸ σῶσαι ἡμᾶς· Διὸ βοῶ σοι· Δόξα τῇ δυνάμει σου.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Ἐκάλυψεν οὐρανοὺς Χριστὲ ὁ Θεός, ἐν τῇ σῇ οἰκονομίᾳ, ἡ ἀρετὴ τῆς ἀφράστου σοφίας σου, Φιλάνθρωπε.

Ὁ πατρικοὺς κόλπους μὴ λιπών, καταβὰς ἐπὶ τῆς γῆς Χριστὲ ὁ Θεός, τὸ μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου, καὶ ἐδόξασά σε Φιλάνθρωπε.

Τὴν ἔνσαρκον παρουσίαν σου Χριστέ, πιστούμενος ὁ Προφήτης Ἀββακούμ, ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην Κύριε· κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην, ὅτι διὰ τοῦ Σταυροῦ σου ἔλυσας τὸν θάνατον, ζωὴν ἡμῖν δωρησάμενος.

Θείῳ προφανῶς Ἀββακούμ, καθαρθεὶς πνεύματι, δύο ζώων τῶν μεταξὺ σοῦ παρουσίαν ἐκήρυξε· τρόμῳ δὲ συσχεθεὶς Χριστέ μου τὴν ἀκοήν, καὶ τῶν θαυμαστῶν ἀκηκοώς σου ἐκραύγαζε, Πεφόβημαι.

Τοὺς οὐρανοὺς ἐκάλυψεν ἡ ἀρετή σου Κύριε, καὶ τῆς σῆς αἰνέσεως τὰ πάντα ἐπλήρωσας· δόξα τῇ δυνάμει σου φιλάνθρωπε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Ε΄. (1)

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Τὸ διὰ τὸν φόβον σου ληφθὲν Κύριε, ἐν γαστρὶ τῶν Προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς, πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται· φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα.

### ΔΙΑΦΟΡΟΙ.

Διασκεδάσας τὴν νύκτα τῶν παθῶν, λάμψον μοι φῶς νοερόν, ὁ τὸ ἀρχέγονον σκότος τῆς ἀβύσσου διώξας, καὶ τὸ πρωτόκτιστον φῶς, καταλάμψας τῷ κόσμῳ, Δημιουργὲ τοῦ παντός.

Κύριε ὁ Θεός μου, ἐκ νυκτὸς ὀρθρίσας σὲ ἱκετεύω· Παράσχου μου ἄφεσιν, τῶν παραπτωμάτων μου, καὶ πρὸς φῶς τῶν σῶν προσταγμάτων, τὰς ὁδούς μου εὔθυνον δέομαι.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστέ, τοῖς δὲ πιστοῖς φωτισμὸς, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου· διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν Θεότητα.

Οἱ ὀρθρίζοντες Λόγε, εἰς δόξαν σὴν καὶ αἶνον, ἀνυμνοῦμεν ἀπαύστως, τὸν τύπον τοῦ Σταυροῦ σου· ὃν ἔδωκας ἡμῖν, ὅπλον εἰς βοήθειαν (2).

(1) Εἰς τὸν Κανόνα τοῦ Προφήτου Ἀμὼς τῇ ΙΕ΄. Ἰουνίου, καὶ εἰς τὸν τοῦ Προφήτου Ἀγγαίου τῇ ΙϚ΄. Δεκεμβρίου, ἐν τοῖς Μηναίοις, ἔτι δὲ καὶ εἴς τινα τῶν Κανόνων ἐν τῇ Παρακλητικῇ, ἀπαντᾶται ἡ Πέμπτη Ὠδὴ πρὸς Εἱρμὸν ἀρχόμενον «Πρὸς σὲ ὀρθρίζω»· ὅστις οὐδαμοῦ τῶν εἰρημένων ἱερῶν βίβλων ἀπηντήθη ὁλόγραφος.

(2) Ὁ Εἱρμὸς οὗτος τονίζει καὶ τὴν Γ΄. Ὠδὴν τοῦ πρώτου Κανόνος τοῦ Σαββάτου ἐν τῇ Παρακλητικῇ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς, διότι φῶς εἶ· καὶ τὰ σὰ προστάγματα, ἐγένοντο ἰάματα, τοῖς δούλοις σου φιλάνθρωπε.

Ἡ δρόσος ἡ παρὰ σοῦ Χριστὲ ὁ Θεὸς, ἴαμα τοῖς πιστοῖς ἡμῖν ἐδείχθη, τῇ γῇ δὲ ἀσεβούντων δυσσεβῶς, πτῶσις ἐπαγγέλεται. Διὸ ἐκ νυκτὸς ὀρθρίζοντες, ὕμνον σοι προσάγομεν.

Ἡ φωτὸς δοκήσει, πρὸς σκότος καθελοῦσα, ἠμαύρωται πλάνη· φῶς γὰρ τὸ ὄντως ἀπρόσιτον, καὶ ἀληθὲς θεοφανείας ἔλαμψεν· ὅθεν ἐνθέως ἐκ νυκτὸς ὀρθρίζοντες, ὕμνον ἀναμέλπομεν.

Νυκτί με ἀχλυωθέντα παθῶν, καταύγασον φῶς τὸ ἀπρόσιτον αἰρόμενον, ἵνα ὀρθρίζων κράζω σοι· Φῶς καὶ εἰρήνη σου τὰ προστάγματα.

## ΩΔΗ ϛ΄.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ναυτιῶν τῷ σάλῳ, τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι. Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

### ΔΙΑΦΟΡΟΙ.

Βυθῷ ἁμαρτημάτων περιπεσὼν Ἀγαθὲ, ὡς Ἰωνᾶς ἐκ τοῦ κήτους βοῶ σοι· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, καὶ σῶσόν με φιλάνθρωπε.

Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου· ἡμεῖς δέ σοι βοῶμεν, Παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με, καὶ ἐσώθην, καὶ ἀνυμνῶ σε τὸν Σωτῆρά μου.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με πρὸς σέ· ἐνεπάγην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ εἰς ἰλὺν βυθοῦ πταισμάτων πολλῶν, καὶ ἐκ φθορᾶς ἐπιφανεὶς με ἀνήγαγες.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με πρὸς σὲ, καὶ ἀνήγαγες τὴν ζωήν μου πολυέλεε.

Ἐκ βυθοῦ ἀνήγαγες, Ἰωνᾶν τὸν Προφήτην σου Κύριε, κἀμὲ βοῶντα ἐκ βυθοῦ, τῶν ἀμέτρων μου πταισμάτων ἀνάγαγε ἐλεῆμον, ὡς φιλάνθρωπος.

Τοῦ πλήθους τῶν πταισμάτων μου, ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους ῥῦσαί με, μόνε Φιλάνθρωπε.

## ΩΔΗ Ζ'.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς, ἐμβληθέντες ὅσιοι Παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

### ΔΙΑΦΟΡΟΙ.

Κάμινον καιομένην, ἐδρόσισας Σωτὴρ, Παῖδας περιέσωσας, ὑμνοῦντας καὶ λέγοντας· Εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Κάμινον Παῖδες, πυρίφλεκτον πάλαι, δροσοβολοῦσαν ὑπέδειξαν, ἕνα Θεὸν ἀνυμνοῦντες καὶ λέγοντες· Ὁ ὑπερυψούμενος, τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Ὁ τῶν Πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Τοὺς ἐν καμίνῳ Παῖδας οὐκ ἔφλεξεν, οὐδὲ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν τῇ καμίνῳ ἐλέγξας ὤφθης, τῆς τῶν Περσῶν ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοίας χρυσήλατον ἄθυρμα· διὸ οἱ Παῖδες ἐπιγνόντες σε, τὴν ἀπαράλλακτον εἰκόνα τοῦ Πατρὸς, Εὐλογητὸς εἶ ἔκραζον ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ δι' Ἀγγέλου τοὺς Παῖδας ἐν καμίνῳ σώσας, καὶ τὴν φλόγα εἰς δρόσον αὐτοῖς μεταποιήσας, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸν ὄντως ὄντα Θεὸν, καὶ τῆς τῶν πάντων οὐσίας αἴτιον, Χριστὸν ὑπερυψοῦμεν, εἰ πάντας τοὺς αἰῶνας.

Τυραννικὴν πρόσταξιν Παῖδες οὐχ ὑπήκουσαν, κάμινον οὐκ ἔπτηξαν, Θεῷ δὲ ἀνέμελπον· Τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τῶν Χερουβὶμ ἡνίοχε καὶ κτίστα τῶν ἁπάντων, ὁ τοὺς Παῖδας ἐν καμίνῳ διασώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ Η'.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ἄφλεκτος πυρὶ ἐν Σινᾶ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ· καὶ Παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ, ὑμνῳδοὺς ἔδειξε· Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

### ΔΙΑΦΟΡΟΙ.

Τὸν μόνον ἄναρχον, Βασιλέα τῆς δόξης, ὃν εὐλογοῦσιν, οὐρανῶν αἱ Δυνάμεις, καὶ φρίττουσι τῶν Ἀγγέλων αἱ τάξεις, ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ὑπ' Ἀγγέλων ἀσιγήτως, ἐν ὑψίστοις δοξαζόμενον Θεὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, γῆ καὶ ὄρη καὶ βουνοὶ καὶ βυθὸς, καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς Κτίστην, καὶ Λυτρωτὴν εὐλογεῖτε.

Τὸν φοβερὸν τοῖς Χερουβὶμ, καὶ θαυμαστὸν τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σεραφὶμ, καὶ τοῦ κόσμου ποιητὴν, ἱερεῖς καὶ δοῦλοι, καὶ πνεύματα δικαίων, ὑμνεῖτε τὸν Κύριον.

Τοὺς ἐν καμίνῳ Παῖδας μιμούμενοι, οἱ τοῦ Πνεύματος τὴν δρόσον δεξάμενοι, ἐν πίστει κραυγάζομεν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κάμινον πάλαι, πυρὶ φλεγομένην, θεοσεβεῖς ἐπάτησαν Παῖδες· οὐ γὰρ φόβῳ ὑπεῖξαν τυραννικῷ, ἀλλὰ πόθῳ μᾶλλον θεοσεβείας, πυρσούμενοι ἔλεγον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οἱ Παῖδες ἐκραύγαζον, ἐν καμίνῳ δροσισθέντες· Ἡ κτίσις εὐλογείτω τὸν τὰ σύμπαντα λόγῳ δημιουργήσαντα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν Κύριον πάντα τὰ ἔργα εὐλογεῖτε, ὡς Δημιουργὸν, καὶ Κτίστην τῶν ἁπάντων.

Τὸν ὄντως ὄντα Θεὸν, καὶ τῆς τῶν πάντων οὐσίας αἴτιον, Χριστὸν ὑπερυψοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τοῦ παντὸς Δημιουργὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν, ὑμνεῖτε λαοὶ Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

## ΩΔΗ Θ΄.

### ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου, Πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

### ΔΙΑΦΟΡΟΙ.

Ἀσπόρου τόκου σύλληψιν, τίς ἑρμηνεύσει βροτῶν; ἀφθόρου τόκου γέννησιν, τίς μὴ θαυμάσει γηγενῶν; Διό σε αἱ φυλαὶ τῆς γῆς, Θεοτόκε μεγαλύνομεν.

Μήτηρ Θεοῦ, καὶ Παρθένος τίκτουσα, καὶ παρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϑηνεύουσα πάλιν οὐχὶ φύσεως ἔργον, ἀλλὰ Θεοῦ συγκαταβάσεως· ὅθεν ὡς μόνην τῶν ϑείων ϑαυμάτων, καταξιωθεῖσάν σε ἀεὶ μεγαλύνομεν.

Πανύμνητε, τῶν οὐρανῶν εἶ πλατυτέρα, ὡς τὸν ἄναρχον Λόγον, ἀσπόρως συλλαβοῦσα, καὶ σεσαρκωμένον Θεὸν, τεκοῦσα τοῖς ἀνθρώποις. Διὸ πάντες σὲ ἀεὶ μεγαλύνομεν.

Σὲ τὴν ἄχραντον Μητέρα, καὶ Παρθένον, τὴν τὸν ἀχώρητον Λόγον, ἐν γαστρὶ χωρήσασαν, καὶ τεκοῦσαν σαρκὶ, ὕμνοις μεγαλύνομεν.

Τὴν ὑπὲρ φύσιν μητέρα, καὶ κατὰ φύσιν παρθένον, τὴν μόνην ἐν γυναιξὶν εὐλογημένην, ᾄσμασιν οἱ πιστοὶ, κατὰ χρέος μεγαλύνομεν.

Σεσαρκωμένον τὸν Λόγον ἀσπόρως, ἐκ σοῦ ϑεοπρεπῶς, τέτοκας Παρθένε Θεοτόκε, καὶ σὲ μεγαλύνομεν.

Σὲ τὴν σκηνὴν τὴν ἁγίαν, καὶ ἔμψυχον κιβωτὸν ἣν ἡ σοφία τοῦ Θεοῦ ᾠκοδόμησεν, ἀληθῆ Θεοτόκον, ὕμνοις μεγαλύνομεν.

Χαῖρε Νύμφη φαεινὴ, Μήτηρ τοῦ φωτοδότου· Χαῖρε ἡ χωρήσασα τὸν ἀχώρητον ἐν μήτρᾳ σου· Χαῖρε ἡ τῶν Χερουβὶμ αὐτῶν τιμιωτέρα, ἡ κυήσασα τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

# ΕΙΡΜΟΙ ΕΙΣ ΗΧΟΝ ΠΛ.' Δ'.

## ΩΔΗ Α'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὖρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

### ΔΙΑΦΟΡΟΙ.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Ἆσμα ἀναπέμψωμεν λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ ἐκ δουλείας, ᾠδὴν ἐπινίκιον, ᾄδοντες καὶ βοῶντες. Ἄσωμέν σοι τῷ μόνῳ Δεσπότῃ.

Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοί, τῷ ἐν θαλάσσῃ Ἐρυθρᾷ τὸν Φαραὼ βυθίσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν Ἐρυθρᾷ θαλάσσῃ, ὅτι μόνος ἐνδόξως δεδόξασται.

Ἄσωμεν ᾠδὴν τῷ Θεῷ, τῷ ἐκ πικρᾶς δουλείας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Φαραὼ ῥυσαμένῳ Ἰσραὴλ, καὶ ἐν πυρίνῳ στύλῳ, καὶ φωτὸς νεφέλῃ καθοδηγήσαντι, ὅτι δεδόξασται.

Ἡ κεκομμένη τὴν ἄτμητον ἔτεμε, καὶ εἶδεν ἥλιος γῆν, ἣν οὐκ ἐθεάσατο· ἀλάστορα ἐχθρὸν τὸ ὕδωρ κατεπόντισε, καὶ ἄβατον διῆλθεν Ἰσραὴλ· ᾠδὴ δὲ ἀνεμέλπετο· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Θάλασσαν ἔπηξας, βυθίσας σὺν ἅρμασι, τὸν ἀλαζόνα Φαραὼ, καὶ λαὸν διέσωσας ἀβρόχως Κύριε, καὶ εἰσήγαγες αὐτοὺς εἰς ὄρος ἁγιάσματος, βοῶντας· Ἄσωμέν σοι τῷ Θεῷ ἡμῶν, ᾠδὴν ἐπινίκιον, τῷ ἐν πολέμοις κραταιῷ.

Τὸν Ἰσραὴλ ἐκ δουλείας ἐλυτρώσω Κύριε, τῇ δεξιᾷ σου τῇ κραταιᾷ· ὡς ἐκεῖνον ἔσωσας, νῦν ἡμᾶς διάσωσον.

Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ, τὴν τυραννίδα Φαραὼ, καὶ τὸν Ἰσραὴλ διὰ ξηρᾶς ὁδηγήσαντι, ᾄσωμεν Χριστῷ, ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Τῷ συντρίψαντι πολέμους, ἐν βραχίονι αὐτοῦ, καὶ διαβιβάσαντι, τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ θαλάσσῃ, ᾄσωμεν αὐτῷ, ὡς Λυτρωτῇ ἡμῶν, ὅτι δεδόξασται.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν, καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγὼν, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἀθρόον πάλαι θάλασσαν, Ἰσραὴλ ὡς ἐν ἐρήμῳ, ποδὶ κεκονιαμένῳ διελθὼν ἐβόα· Κυρίῳ τῷ Θεῷ ἡμῶν, τῷ κραταιῷ, ἐν πολέμοις, ᾄσωμεν ᾆσμα καινόν.

Ἐν Ἐρυθρᾷ Φαραὼ σὺν ἅρμασιν ἐβύθισας, καὶ τὸν λαὸν διὰ Μωσέως ἔσωσας, ᾄδοντά σοι Κύριε, ᾠδὴν ἐπινίκιον, ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

Ὁ παράδοξον ἐν θαλάσσῃ, τῷ λαῷ κατασκευάσας ὁδὸν, τὴν οὐρανῶν ἡμῖν πορείαν ἐπίβατον ποίησον, ἵνα καινὴν ᾠδὴν ᾄσωμέν σοι Κύριε.

Προφητικῶς ὁ Θεόπτης, τῆς Θεοτόκου τὸν τύπον κά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοπτριζόμενος, αβρόχοις ποσὶ, τὸ ἐρυθραῖον διεπορθμεύσατο πέλαγος, καὶ σκιρτῶν ἀνεβόα· Ἄσωμεν ἐπινίκιον ὕμνον τῷ Κυρίῳ, ὅτι δεδόξασται.

Τῷ θαυμαστῷ μεγαλεῖα προσάξωμεν· καὶ μεγαλοπρεπῶς σὺν ἡμῖν ἀνυμνείτω, γῆ καὶ οὐρανὸς τρανῶς τὴν δόξαν αὐτοῦ.

## ΩΔΗ Β΄.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ πάλαι τὸν Ἰσραὴλ, ἐν ἐρυθρᾷ θαλάσσῃ διαγαγὼν, καὶ θρέψας καὶ σώσας, καὶ ἐκ δουλείας πικρᾶς, ἐλευθερώσας Φαραώ.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ καθιερώσας ἀπαρχὴν ὑμῖν δεκτὴν, τὴν ἐξ ἡμερῶν ὅλου τοῦ ἔτους ἀποδεκάτωσιν, καὶ ταύτην δοὺς τῷ λαῷ μου, εἰς ἐκλύτρωσιν παθῶν, εἰς σωτηρίας ἀρχήν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρὸς, καὶ ἐκ τῆς Παρθένου ἐπ' ἐσχάτων, δίχα ἀνδρὸς κυηθεὶς, καὶ λύσας τὴν ἁμαρτίαν, τοῦ προπάτορος Ἀδὰμ, ὡς φιλάνθρωπος.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ ἐν ἐλέει πλούσιος, καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ὁ λυτρούμενος λαὸν ἐκ πλάνης, καὶ δουλείας τῶν ἀθέων ἐχθρῶν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ διασχίσας τὴν Ἐρυθρὰν θάλασσαν ῥάβδῳ Μωσαϊκῇ, καὶ διαβιβάσας τὸν λαὸν, καὶ ὁδηγήσας αὐτὸν, καὶ διαθρέψας αὐτὸν, ἐν τῇ ἐρήμῳ Σινᾶ, καὶ εἰσαγαγὼν αὐτοὺς εἰς ὄρος ἁγιάσματος.

Οὐρανοὺς ὁ ἐκτείνας, καὶ τὴν γῆν θεμελιώσας Χριστὲ, πρόσχες τῇ δεήσει μου, ὅτι τὸ ὄνομά σου τὸ θαυμαστὸν, ἐπεκαλεσάμην φιλάνθρωπε.

Πρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν.

Ὑπὲρ μέλι καὶ κηρίον, γλυκύτερα τὰ λόγια τοῦ στόματός μου, μάθετε βοᾶν, λέγει Κύριος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Γ'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Ῥάβδος εἰς τύπον, τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

### ΔΙΑΦΟΡΟΙ.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ· ὑψώθη κέρας μου ἐν Θεῷ μου· ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου· εὐφράνθην ἐν σωτηρίῳ σου.

Ὁ στερεώσας ἐν τῇ χειρί σου, Λόγε Θεοῦ τοὺς οὐρανούς, ἐν τῷ φωτισμῷ τῆς σῆς ἀληθοῦς ἐπιγνώσεως, στερέωσον καὶ ἡμῶν, τῶν ἐπὶ σοὶ πεποιθότων τὰς καρδίας.

Ὁ στερεώσας καταρχὰς, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστὲ τῶν ἐντολῶν σου στήριξον· ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε.

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας πολλῶν, στερέωσόν με πρὸς ὕμνον καὶ δοξολογίαν σου Κύριε.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν, ὃν ὑμνεῖ πᾶσα κτίσις· Οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Στερέωμά μου Σωτὴρ ὑπάρχεις, καταφυγή μου καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δύναμις· σαλευθεῖσαν τὴν καρδίαν μου, στερέωσον εἰς τὸν φόβον σου· ὅτι οὐκ ἔστιν ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Στερέωσον ἡμῶν τὸν νοῦν καὶ τὴν καρδίαν, ὁ τοὺς οὐρανοὺς τῷ λόγῳ στερεώσας, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε Ζωοδότα, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε· σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά σου.

Τὸν φόβον σου Κύριε, ἐμφύτευσον ταῖς καρδίαις τῶν δούλων σου, καὶ γενοῦ ἡμῖν στερέωμα, τοῖς σὲ ἐν ἀληθείᾳ, ἐπικαλουμένοις.

Ἐν Κυρίῳ Θεῷ μου ἐστερεώθη ἡ ψυχή μου, καὶ καυχάσθω λέγουσα· Οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Ἐστηριγμένον ἐν τῇ πέτρᾳ τῆς πίστεως, ὁ Ἐπὶ ταύτην οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, εἰπὼν Κύριε, διάσωσόν με βοῶντα· Σὺ εἶ Χριστὲ ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐν σοὶ ἐστήρικται τὸ πνεῦμά μου.

Ὁμοίωσόν με Χριστὲ νοητῶς τῷ ὄρει τῆς Σιών, ὑψώσας καὶ στερεώσας, τῇ ἐπὶ σοὶ πεποιθήσει, καὶ καταστάξας τῇ δρόσῳ τῆς χάριτος φιλάνθρωπε.

Ὁ στερεώσας Λόγε τοὺς οὐρανοὺς λόγῳ, στερέωσον ἡμῶν τὸν νοῦν καὶ τὴν καρδίαν, εἰς τὸ δοξάζειν σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Στερέωσόν με Κύριε δυνάμει τοῦ Σταυροῦ, καὶ δώρησαί μοι καρδίαν καθαράν, ἵνα ἐν σοὶ καυχῶμαι Ἀγαθέ.

Στερέωσόν με Κύριε, τὴν ἀσθένειάν μου γινώσκων, καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.

Σύνταξον Κύριε, τοῖς δυνατοῖς τοῦ λαοῦ σου, περιζωννύων δύναμιν, καὶ τὰ τόξα πολεμίων σύντριψον, καὶ τῆς πτωχείας μου τὸ κέρας ὕψωσον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Δ΄.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

### ΔΙΑΦΟΡΟΙ.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, ὅτι ἀῤῥήτῳ βουλῇ, Θεὸς ὢν ἀΐδιος, ἐκ τῆς Παρθένου προῆλθες σαρκωθείς. Δόξα τῇ δόξῃ σου Χριστὲ, δόξα τῇ δυνάμει σου.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασα τὸ κράτος σου Κύριε.

Ἐξ ὄρους κατασκίου, Λόγε ὁ Προφήτης, τῆς μόνης Θεοτόκου, μέλλοντος σαρκοῦσθαι, θεοπτικῶς κατενόησε καὶ ἐν φόβῳ, ἐδοξολόγει σου τὴν δύναμιν.

Ἐπέβης ἐφ' ἵππους τοὺς Ἀποστόλους σου Κύριε, καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν, καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου, τοῖς πιστῶς μελῳδοῦσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Μυστικῶς ὁ Προφήτης προορῶν, ἐκ Παρθένου σε Λόγε σαρκούμενον, μελῳδικῶς ἀνεβόα· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὁ Προφήτης Ἀββακοὺμ, τοῖς νοεροῖς ὀφθαλμοῖς προεῖδε Κύριε, τὴν παρουσίαν σου· διὸ καὶ ἀνεκραύγαζεν· Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός· δόξα τῇ δόξῃ σου Χριστὲ, δόξα τῇ συγκαταβάσει σου.

Σύ μου ἰσχὺς, Κύριε σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς, κόλπους μὴ

λιπὼν, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἀββακοὺμ Προφῆτα, τί κράζεις; τί ἰδὼν ἐξέστης; Ἐκ Θαιμὰν σε ἥξοντα τὸν Θεὸν, ὁρῶν πεφόβημαι.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὴν ἄφατόν σου οἰκονομίαν, καὶ ἐδόξασα Λόγε τὴν συγκατάβασιν σου.

Εἰσακήκοα τὴν ἀκοήν σου Κύριε, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου. καὶ ἐξέστην, ὅτι ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, καὶ τὰ σύμπαντα Σωτὴρ. τῆς σῆς αἰνέσεως ἐπλήσθη.

Ἐκ σαρκός σου βολίδες Θεότητος, ἐξεπορεύοντο· Προφητῶν καὶ Ἀποστόλων, ὅθεν οἱ πρόκριτοι, μέλποντες ἀνεβόων· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὁ θεοφόρος Πνεύματι ἁγίῳ φωτισθεὶς, Προφήτης Ἀββακοὺμ, τὴν ἐπ' ἐσχάτων σου ἔλευσιν, προκατιδὼν ἀνεβόα. Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· τῇ δυνάμει σου Κύριε.

Οὐρανοὺς ἐκάλυψε Χριστὲ ἡ σὴ ἀρετὴ, καὶ τῆς σῆς αἰνέσεως πεπλήρωται τὰ σύμπαντα.

Σοῦ τὴν ἄχραντον ἔλευσιν Χριστὲ, προθεωρῶν ὁ Προφήτης Ἀββακοὺμ, ἐβόα σοι σὺν τρόμῳ· Ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Τὴν σὴν ἐνανθρώπησιν, ἣν πρὸ αἰώνων προώρισας, καὶ ἐπ' ἐσχάτων εὐδόκησας τελέσαι Κύριε, εἰσακήκοα, καὶ φόβῳ ἀνύμνησα.

Ὡς τῷ Πέτρῳ χεῖρα ἐκτείνας εἰς βοήθειαν, κἀμὲ ἐλέησον, καὶ σῶσον ὡς φιλάνθρωπος.

## ΩΔΗ Ε΄.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Ὢ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πατήσας, τῷ ἐν σοὶ δελεασθεὶς, Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

### ΔΙΑΦΟΡΟΙ.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν.

Ὁ ἐκ νυκτὸς ἀγνοίας, θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα, φώτισόν με τῷ ὄρθρῳ, τῆς φιλανθρωπίας σου Κύριε (1).

Ὀρθρίζει τὸ πνεῦμά μου, πρὸς σὲ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματα, τῆς παρουσίας σου· ἐν αὐτοῖς οὖν καταύγασον, τὸν νοῦν ἡμῶν Δέσποτα, καὶ ὁδήγησον ἐν τρίβῳ ζωῆς.

Ὀρθρίζοντες βοῶμέν σοι Κύριε· Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Τῆς τῶν παθῶν με ἀχλύος, ὡς ἐκ νυκτὸς βαθυτάτης λυτρούμενος, ὀρθρίζειν ἀξίωσον, τὸ πνεῦμά μου δέομαι, ἐν φωτὶ ἡμέρας, τῶν σῶν προσταγμάτων Χριστέ.

Τὸν ἐκ νυκτὸς ἀγνωσίας, ἐπὶ τὴν ψυχάλωτον ὁδὸν ἀεὶ πλανώμενον, τῷ φωτὶ τῆς γνώσεώς σου Κύριε, ποδηγῶν με ἐν τῇ τρίβῳ, τῶν ἐντολῶν σου καθοδήγησον.

Τὸν ζόφον τῆς ψυχῆς μου διασκέδασον, φωτοδότα Χριστὲ ὁ Θεὸς, ὁ τὸ ἀρχέγονον σκότος διώξας

(1) Ἐν ἐνίοις μετὰ τὸ φώτισόν με κεῖται « πρὸς ὕμνον καὶ δοξολογίαν σου Κύριε »· ἢ « πρὸ ὄρθρον, τῆς δοξολογίας σου Κύριε.

τῆς ἀβύσσου, καὶ δώρησαί μοι τὸ φῶς, τῶν προσταγμάτων σου Λόγε, ἵνα ὀρθρίζων δοξάζω σε.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν φιλάνθρωπε.

Ἀγαθὲ φωτὸς, καὶ εἰρήνης χορηγὲ, τοῦ σκότους με καὶ πολέμου ῥῦσαι τῶν παθῶν, ὀρθρίζοντα Χριστὲ πρὸς τὴν σὴν αἴνεσιν

Ἐκ νυκτὸς ἀγνοίας, θεογνωσίας ἡμέραν, ἐν τῷ φωτὶ τοῦ προσώπου σȣ Χριστὲ, ἐλλαμφθείη πρὸς ὄρθρον ἡ αἴνεσίς σου, ἐν ταῖς καρδίαις ἡμῶν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός· ἔλεος παράσχου μοι.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μȣ πρὸς τὴν σὴν ὑμνῳδίαν, διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς, τὸν ἐκ Πατρὸς γεννηθέντα ἀφράστως, καὶ ἐγείραντα κέρας σωτηρίας ἡμῖν.

Ὀρθρίζοντες πρὸς σὲ τὸν φιλάνθρωπον, ἀνυμνοῦμέν σε Χριστὲ ὁ Θεός· δώρησαι ἡμῖν τὰ ἐλέη σου.

Ὅτι Θεὸν ἄλλον Ἀγαθὲ πλὴν σου οὐ γινώσκομεν, πρὸς σὲ τὸ φῶς τὸ ἄδυτον, ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμεν σε φιλάνθρωπε.

Τὰ προστάγματά σου φωτισμὸν Χριστὲ ὁ Θεὸς, ὡς ἀγαθὸς ὑπέδειξας· διό σοι φωτοδότα, ἐκ νυκτὸς ὀρθρίζοντες, δόξαν ἀναπέμπομεν.

Τῷ σῷ φωτὶ αὔγασόν μου τὸν νοῦν, ὁ Θεὸς δέομαί σου, ἵνα τὴν πολλήν σου ὑμνήσω, ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

## ΩΔΗ ϛ'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαφῶς· ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος.

### ΔΙΑΦΟΡΟΙ.

Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων καταιγίς με ταράττει. καὶ πρὸς βυθὸν βιαίως συνωθεῖ ἀπογνώσεως· ἀλλ' αὐτὸς τὴν κραταιὰν, χεῖρά μοι ἔκτεινον, ὡς τῷ Πέτρῳ, καὶ ἐκ βυθοῦ φθορᾶς ἀνάγαγε.

Ἱλάσθητί μοι Σωτὴρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Πρὸς τὸν δυνάμενον σώζειν με Κύριον, ἐκ βυθοῦ ἁμαρτιῶν ἐβόησα, καὶ ἐκ φθορᾶς ἀνήγαγε, τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Συνεχόμενον δέξαι με φιλάνθρωπε, ἐκ πταισμάτων πολλῶν, καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην Κύριε, καὶ σῶσόν με.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις· ὅτι κακῶν, ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τὸν Ἰωνᾶν ἐν τῷ κήτει Κύριε, μονώτατον κατῴκισας· ἐμὲ δὲ τὸν πεπεδημένον, ἐν ἄρκυσι τοῦ ἐχθροῦ, ὡς ἐκ φθορᾶς ἐκεῖνον διάσωσον.

Χιτῶνά μοι παράσχου φωτεινὸν, ὁ ἀναβαλλόμενος, φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὡς τὸν Προφήτην ἐρρύσω, ἐκ βυθοῦ κατωτάτου Χριστὲ ὁ Θεὸς, κἀμὲ τῶν πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μȣ δέομαι.

Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βίου χειμάζει με· ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ εἶδον τὰ θαυμάσιά σου Κύριε.

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου, καὶ ἐῤῥύσω ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Ὁ ἐν Ἰσαὰκ τὸ πάθος προγράψας, καὶ ἐν Ἰωνᾷ ταφὴν προτυπώσας, καὶ ἀνάστασιν πᾶσιν παρέχων, σοὶ βοῶμεν σὺν τῷ Προφήτῃ· Ἐκ φθορᾶς ἡμᾶς ἀνάγαγε, εὔσπλαγχνε Κύριε.

Ὑπερῆραν τὴν κεφαλήν μου αἱ ἀνομίαι μου· ὡς βαρὺ φορτίον ἐπ' ἐμὲ βαρυνθεῖσαι, εἰς ἀπογνώσεως βάθη καθέλκουσί με· ἀλλὰ πρὶν βυθισθῆναι Κύριε σῶσόν με.

Ὡς ἐκ τοῦ κήτους ἐλυτρώσω τὸν Προφήτην σου, κἀμὲ Σωτὴρ ἡμῶν, τοῦ πλήθους τῶν πταισμάτων μου λύτρωσαι.

Ὡς τὸν Προφήτην Ἰωνᾶν, τοῦ κήτους ἀνήγαγες ὁ Θεὸς, οὕτω ῥῦσαί με ἐκ θήρας τοῦ ἀλλοτρίου, καὶ σῶσόν με Οἰκτίρμον ὡς πολυέλεος.

## ΩΔΗ Ζ'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον· ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ·

### ΔΙΑΦΟΡΟΙ.

Ἐν πεδίῳ Δεηρᾶ, ποτὲ ὁ τύραννος κάμινον ἔστησε, πρὸς τιμωρίαν τῶν θεοφόρων, ἐν ᾗ οἱ τρεῖς Παῖδες

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑμνολόγουν ἕνα Θεὸν, καὶ τρισσῶς ἀνύμνουν λέγοντες· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ· διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδὶ, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον. Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ δι' Ἀγγέλου Παῖδας, ἐκ πυρὸς διασώσας, καὶ τὴν βροντῶσαν κάμινον, μεταβαλὼν εἰς δρόσον, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας, καὶ οὐρανοὺς τῷ λόγῳ στερεώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι ποτὲ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οἱ τῆς Χαλδαίας καμίνου, τὴν πανόλεθρον δύναμιν σβέσαντες, μορφῇ Ἀγγέλου συγκαταβάντος, τῷ Δημιουργῷ Νεανίαι ἐκραύγαζον· Εὐλογητὸς εἶ καὶ αἰνετὸς, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τοὺς Παῖδας δροσίσας ἐν καμίνῳ, καὶ παρθένον φυλάξας μετὰ τόκον, τὴν σὲ τεκοῦσαν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι, εἰκόνι χρυσῇ οὐ προσεκύνησαν, ἀλλ' ἐν μέσῳ καμίνου πυρὸς δροσιζόμενοι, τὴν ᾠδὴν ἀνέμελπον λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογιζομένη, ἐδροσίζετο πνεύματι, Θεοῦ ἐπιστασίᾳ, οἱ Παῖδες

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἔψαλλον· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀποβλεψάμενος ὁ τύραννος τοῦ τετάρτου τὴν μορφὴν ἔλεγε τοῖς μετ' αὐτοῦ· Τρεῖς ἐβάλομεν ἐν τῇ φλογὶ, νυν δὲ τέσσαρας ὁρῶ· τοῦ ἑνὸς ἡ μορφὴ ἐξιστᾷ μυ τὸν νοῦν ἐκπλήττει μου τὸν λογισμόν· τῶν τριῶν ὁ χορὸς ὑμνεῖτε εἰς τοὺς αἰῶνας.

Μιμητὰς τῶν τριῶν σου Κύριε Παίδων, ποίει ἡμᾶς. ἀνθισταμένους πρὸς ἁμαρτίαν, καὶ τὸ πῦρ τῶν ἡδονῶν πατοῦντας καὶ ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν καμίνῳ πυρὸς τοὺς Παῖδας διασώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Παίδων ἐν καμίνῳ βληθέντων, θεασάμενος ὁ τύραννος, τοῦ τετάρτου τὴν μορφὴν, ἐν εἴδει Υἱοῦ τοῦ Θεοῦ, σὺν αὐτοῖς ἐκραύγαζεν· Εὐλογητὸς εἶ ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

## ΩΔΗ Η'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

### ΔΙΑΦΟΡΟΙ.

Ἄγγελοι καὶ οὐρανοὶ, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀσεβείας ὄργανα ἄλιον μέλος, εὐσεβείας δὲ αἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεόφθογγοι ἐκελάδουν φόρμιγγες· Εὐλογεῖτε πάντα τὰ ἔργα Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, Τὸν Δημιουργόν, καὶ Λυτρωτὴν ἀνεβόα, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μουσικῶν ὀργάνων συμφωνούντων, καὶ λαῶν ἀπείρων προσκυνούντων, εἰκόνι τῇ ἐν Δεηρᾷ, τρεῖς Παῖδες μὴ πεισθέντες, τὸν Κύριον ἀνύμνουν, καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.

Νικηταὶ τυράννου, καὶ φλογὸς τῇ χάριτί σου γεγονότες, οἱ τῶν ἐντολῶν σου, σφόδρα ἀντεχόμενοι Παῖδες ἐβόων· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ θεορρήμονες Παῖδες ἐν τῇ καμίνῳ, σὺν τῷ πυρὶ καὶ τὴν πλάνην, καταπατοῦντες ὑπέψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον (1), καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ στεγάζων ἐν ὕδασι, τὰ ὑπερῷα αὐτοῦ ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν· σὲ ὑμνεῖ ἥλιος σὲ δοξάζει σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα κτίσις, τῷ Δημιουργῷ, καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Τὸν ἄναρχον Βασιλέα τῆς δόξης, ὃν φρίττουσι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

(1) Ὁ Εἱρμὸς οὗτος παύει ἐνίοτε ἐνταῦθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς Παρθένου, τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄναρχος Θεὸς Λόγος, ἐλθὼν ἐπὶ τὸ βάπτισμα, ἐτέλει τὸ μυστήριον τῆς οἰκονομίας ἐν Ἰορδάνῃ. καὶ τῷ Προδρόμῳ ἔλεγε· Σύ με βαπτίζεις ὕδατι, κἀγὼ δὲ σε ἐν Πνεύματι, μετὰ τῶν ἐν πίστει βοώντων μοι· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀπαγορεύοντες χρυσολατρείαν οἱ Παῖδες, Βασιλέως κατεφρόνησαν· ἐγνώρισε γὰρ αὐτοὺς τὸ πῦρ δούλους θείυς, καὶ ἐνετράπη βοῶντας· Ὑμνείτω ἡ κτίσις τὸν Κύριον, καὶ ὑπερυψύτω εἰς πάντας τοὺς αἰῶνας.

Ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ, ὁ τύραννος ἔφη τοῖς Χαλδαίοις· τὸν Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαήλ, ἐμβάλετε αὐτοὺς ἐν αὐτῇ· οἵτινες τῇ εἰκόνι τῇ χρυσῇ οὐ προσεκύνησαν, ἀλλ' ἔλεγον· Ἡμεῖς Θεὸν ἔχομεν ἐν οὐρανοῖς, ὃν λατρεύομεν, καὶ προσκυνῦμεν εἰς τὺς αἰῶνας.

Ἐν καμίνῳ χορείαν ἔστησαν Νεανίαι, τὴν ἐναρμόνιον τάξιν διεξιόντες, τῆς κτίσεως προθέντες δοξάζειν, τὴν παντυργικὴν σοφίαν, Χριστὸν ἀνυμέλποντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίυ τὸν Κύριον.

Εὐλογεῖ σε πᾶσα ἡ κτίσις Κύριε· ἐδοξολόγησάν σε οὐρανῶν αἱ Δυνάμεις σὺν τοῖς Παισί· καὶ ἡμεῖς ἀνυμνῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τὺς αἰῶνας.

Ἱερουσαλὴμ ἡγιασμένης εὐγενεῖς ὄντες Παῖδες ἐδείχθησαν, οἱ τῶν ἐν αὐτῇ θείων θρησκευμάτων, μὴ λαβόντες λήθην ὁλόλιθον, ἀλλὰ τὸ Βαβυλώνιον πῦρ ἐν αὐτοῖς, εὐσεβοῦσι προξενήσαντες, ἐν ᾧ δροσισθέντες ἔψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίυ τὸν Κύριον.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων γεννηθέντα, καὶ ἐκ Μητρὸς ἐπ' ἐσχάτων σαρκωθέντα, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν φωναῖς Ἀγγέλων, ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε τὰ ἔργα Κυρίυ τὸν Κύριον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Θ'.

### ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστὸν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσιν.

### ΔΙΑΦΟΡΟΙ.

Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε, ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μεγαλύνομεν.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν, ἐν οἴκῳ Δαυῒδ τοῦ παιδὸς αὐτοῦ· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς, εἰς ὁδὸν εἰρήνης.

Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψιστος, ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, παρθενικῆς ἀπὸ γαστρὸς, γενόμενος ἄνθρωπος· διὸ τὴν ἄχραντον, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνή, σὺν Ἀσωμάτοις χορείαις, σὲ μεγαλύνοντες.

Μεγαλύνομεν σε, τὴν Μητέρα τοῦ Θεοῦ, καὶ δοξάζομέν σε Θεοτόκε Παρθένε, ὡς Σωτῆρα τεκοῦσαν τῶν ψυχῶν ἡμῶν.

Μεγαλύνομέν σε τὴν πανάμωμον, Μητέρα Χριστοῦ τοῦ Θεοῦ, ἐν ᾗ ἐπεσκίασε τὸ Πνεῦμα τὸ ἅγιον.

Ὅρους παρῆλθες τῆς φύσεως, τὸν Δημιουργὸν συλλαβοῦσα καὶ Κύριον, καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας· διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Σὲ τὴν ἀπειρόγαμον, Θεοῦ Μητέρα τοῦ Ὑψίστου, σὲ τὴν ὑπὲρ νοῦν κυήσασαν, διὰ λόγου τὸν ὄντως Θεόν, τὴν ὑψηλοτέραν τῶν ἀχράντων Δυνάμεων, ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

Σὲ τὴν οὐρανοῦ καὶ γῆς μεσῖτιν, πᾶσαι γενεαὶ μακαρίζομεν· σωματικῶς γὰρ ἐνῴκησεν ἐν σοί, τὸ πλήρωμα Παρθένε τῆς Θεότητος·

Τὴν ἁγνὴν ἐνδόξως τιμήσωμεν, λαοὶ Θεοτόκον, τὴν τὸ πῦρ τῆς Θεότητος, δεξαμένην ἐν τῇ γαστρὶ ἀφλέκτως, ἐν ὕμνοις μεγαλύνοντες.

Τὸν προδηλωθέντα, ἐν ὄρει τῷ Νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

Ἐν εὐφροσύνῃ πάντες, τῇ Παρθένῳ τὸ Χαῖρε βοήσωμεν, ἡ κεχαριτωμένη Μαρία Θεόνυμφε, σὲ ὡς Μητέρα τοῦ Θεοῦ, οἱ πιστοὶ ἅπαντες ὁμοφρόνως μεγαλύνομεν.

Ἡ ἀνατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, καὶ τεκοῦσα τὸ φῶς τῆς οἰκουμένης, Κεχαριτωμένη χαῖρε· ὕμνοις τὸν τόκον σου μεγαλύνομεν.

Σὲ τὴν ἄφλεκτον βάτον, ἣν προεώρα Μωϋσῆς, ἀκαταφλέκτως καιομένην ποτέ, τῷ τῆς Θεότητος πυρί, ὡς ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φλέκτως κυήσασαν τὸν Κύριον, σεσαρκωμένον Θεὸν, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Σὲ τὴν πλατυτέραν τῶν οὐρανῶν Θεοτόκε, καὶ φωτεινοτέραν τȣ̃ ἡλίȣ, ὕμνοις μεγαλύνομεν.

Σιγάτω αἱρετικῶν τὰ στίφη, τῶν μὴ κυρίως Θεοτόκον ὁμολογȣ́ντων σε· σὲ γὰρ ἄνωθεν οἱ Προφῆται προεκήρυξαν. Μητέρα γενέσθαι Θεȣ̃, καὶ μεσίτην τȣ̃ γένους ἡμῶν· διό σε Παρθένε μεγαλύνομεν.

Σωματώσεως θείας, ὄργανον Παρθένε γέγονας, καὶ τῆς τοῦ Λόγȣ πρὸς τὴν ἐκ σȣ̃ σάρκα μίξεως νυμφὼν ἡνωμέναις γὰρ ȣ̓σίαις, διπλαῖς ἐνεργείαις, καὶ θελήσεσι δεικνυμενον τέτοκας· ὃν ὑμνȣ̃ντες σὲ Θεοτόκε μεγαλύνομεν.

Τὸν ἀόρατον μορφῇ θεϊκῇ δεξαμένη, ἀπειρόγαμε Παρθένε καὶ Μήτηρ, ὕμνοις τὸν τόκον σȣ μεγαλύνομεν.

Τὸν Λῃστὴν μιμȣ́μενος ὁ τάλας ἐγὼ, ὁμολογῶν σε κραυγάζω σοι. ἕνα τὸν ἐκ Πατρὸς, καὶ ἐκ Παρθένȣ ἀφράστως σαρκωθέντα, καὶ δἰ ἐμὲ γεγονότα κατ' ἐμέ· Ἀλλ' ὡς φῶς νοερὸν Ἥλιε, ἀμνημονήσας τῶν κακῶν, ἐν τῇ Βασιλείᾳ σȣ μνήσθητί μȣ, ὅταν κριτὴς Κύριε, καθίσῃς ἐπὶ θρόνου.

Ὦ παρθενίας ἀκρότης Θεοτόκε· ψαλμοῖς δὲ εὐκλεέσιν, ἑορτὰς ὑψȣ̃σα χαρίτων σου, καὶ νῦν πλέον τῇ παρθενικῇ τȣ̃ λόγȣ σοῦ μνήμῃ, φωτίσει μυστικῇ κοσμȣ̃σα, τȣ̀ς ἐν αὐτῇ μεγαλύνοντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΣΤΙΧΟΛΟΓΙΑ ΤΩΝ ΕΝΝΕΑ ΩΔΩΝ.

## ΩΔΗ ΠΡΩΤΗ.

Ὠδὴ Μωσέως ἐν τῇ Ἐξόδῳ. Κεφ. ιέ.

Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει·
Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμȣς, Κύριος ὄνομα αὐτῷ.

Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν· ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν Ἐρυθρᾷ θαλάσσῃ.

Πόντῳ ἐκάλυψεν αὐτοὺς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην.

Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρός· Διώξας καταλήψομαι, μεριῶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν Ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ.

Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ.

Εἰς Στίχους η'.

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν· ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν.

Εἰς Στίχους ς'.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε· ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω, Κύριε, ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Εἰς Στίχους δ'.

Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι.

Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα καὶ νῦν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ ΔΕΥΤΕΡΑ.

Ἰστέον ὅτι ἡ β΄ Ὠδὴ οὐδέποτε στιχολογεῖται, εἰμὴ ἐν μόνῃ τῇ μεγάλῃ Τεσσαρακοστῇ· μετὰ δὲ τὴν πρώτην, στιχολογοῦμεν αὐτὴν ἕως τέλους. Εἰς δὲ τὰ Τροπάρια, λέγωμεν ἑνὶ ἑκάστῳ·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὠδὴ Μωσέως ἐν τῷ Δευτερονομ. Κεφ. λβ΄. 1.

Νόμου γραφέντος, αὖθις Ὠδὴ Μωσέως.

Πρόσεχε οὐρανὲ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡς ὄμβρος ἐπ' ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.

Ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα. Δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Θεὸς, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· δίκαιος καὶ ὅσιος ὁ Κύριος.

Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά· γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

Οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός· οὐκ αὐτὸς οὗτός σου Πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;

Μνήσθητι ἡμέρας αἰῶνος, σύνετε δὴ ἔτη γενεᾶς γενεῶν.

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ.

Καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ· σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν γῇ ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς· ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

Ἐθήλασαν μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

Βούτυρον βοῶν, καὶ γάλα προβάτων, μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Παρώξυνάν με ἐπ' ἀλλοτρίοις, καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ· θεοῖς, οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Καὶ εἶδε Κύριος καὶ ἐζήλωσε, καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ εἶπεν· Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων· ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν· υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αυτοῖς.

Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ. παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου· καταφάγεται γῆν, καὶ τὰ γεννήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτούς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς.

Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Εἶπα· Διασπερῶ αὐτούς, παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι· μὴ εἴπωσιν· Ἡ χεὶρ ἡμῶν ἡ ὑψηλή, καὶ οὐχὶ Κύριος, ἐποίησε ταῦτα πάντα.

Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη, οὐκ ἐφρόνησαν συνιέναι.

Ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτούς, καὶ ὁ Κύριος παρέδωκεν αὐτούς.

Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν, ὡς ὁ Θεὸς ἡμῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματις αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.

Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ ποῦς αὐτῶν· ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, καὶ παρειμένους.

Καὶ εἶπε Κύριος· Ποῦ εἰσὶν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;

Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι· καὶ οὐκ ἔστιν, ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου, καὶ ἐρῶ· Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ.

Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΤΡΙΤΗ.

Προσευχὴ Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ Προφήτου.
Α΄. Βασιλ. Κεφ. β΄.

Θεὸν γεραίρει Στεῖρα τίκτουσα ξένως·
Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, ηὐφράνθην ἐν σωτηρίῳ σου.

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν· μηδὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν· ὅτι στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου, καὶ ἀνάγει.

Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ καὶ θρόνου δόξης κατακληρονομῶν αὐτόν.

Εἰς Στίχους η΄.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου.

Ὅτι οὐκ ἐνισχύσει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος.

Εἰς Στίχους ς΄.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ᾽ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Εἰς Στίχους δ΄.

Κύριος ἀνέβη εἰς οὐρανοὺς, καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΤΕΤΑΡΤΗ.

### Προσευχὴ Ἀββακοὺμ τοῦ Προφήτου. Κεφ. γ΄. 1.

Τὴν τοῦ Λόγου κένωσιν Ἀββακοὺμ φράσον·
Δόξα τῇ δυνάμει σου, Κύριε.

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται· κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη.

Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται, καὶ αἱ σκηναὶ γῆς Μαδιάμ.

Μὴ ἐν ποταμοῖς ὠργίσθης Κύριε; μὴ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος· ποταμῶν ῥαγήσεται γῆ.

Ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί, σκορπίζων ὕδατα πορείας· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χτιστούς σου ἐλήλυθας, ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν· σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου· καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

Εἰς Στίχους η'.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Εἰς Στίχους ς'.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Εἰς Στίχους δ'.

Κύριος ὁ Θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ ΠΕΜΠΤΗ.

### Προσευχὴ Ἡσαΐου τοῦ Προφήτου. Κεφ. κϛ΄. 9.

Ἡσαΐου πρόῤῥησις, εὐχὴ τὸ πλέον.
Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Πέπαυται γὰρ ὁ ἀσεβὴς· πᾶς, ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν· γνόντες δὲ, αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι· διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Εἰς Στίχους η΄.

Πρόσθες αὐτοῖς κακὰ, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Εἰς Στίχους ϛ΄.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Εἰς Στίχους δ΄·

Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Βάδιζε, λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΕΚΤΗ.

### Προσευχὴ Ἰωνᾶ τοῦ Προφήτου. Κεφ. β΄. 2.

Ἐκ θηρὸς ἐκραύγαζεν Ἰωνᾶς, λέγων·
Ὡς τὸν Προφήτην Ἰωνᾶν, σῶσον ἡμᾶς, Κύριε.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.

Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;

Εἰς Στίχους η΄.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ, Κύριε ὁ Θεός μου.

Εἰς Στίχους ϛ΄.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μȣ πρὸς ναὸν τὸν ἅγιόν σου.

Εἰς Στίχους δ΄.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεος αὐτοῖς ἐγκατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι· ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΕΒΔΟΜΗ.

### Προσευχὴ τῶν ἁγίων τριῶν Παίδων.
### Δανιήλ. Κεφ. γ΄.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν Νέων.
Τῶν Πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.

Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἱερουσαλὴμ· ὅτι ἐν ἀληθείᾳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος· οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα· οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν.

Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς.

Ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ Βασιλέως, καίοντες τὴν κάμινον νάφθῃ, καὶ πίσσῃ, καὶ στυππίῳ, καὶ κληματίδι.

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα· καὶ διώδευσε, καὶ ἐνεπύρισεν, οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου.

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τοκαθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.

Τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν, καὶ εὐλόγουν, καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

## Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾖδον Νέοι.

Εἰς Στίχους η.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους ϛ΄.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους δ΄.

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΟΓΔΟΗ.

### Ὕμνος τῶν ἁγίων τριῶν Παίδων.

Τὸν Δεσπότην ὕμνησον ἡ κτιστῶν φύσις.
Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῶν, πᾶσαι αἱ Δυνάμεις Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψύχος καὶ καύσων, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, δρόσοι καὶ νιφετοὶ, πάγοι καὶ ψύχος, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες, καὶ ἡμέραι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοὶ, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πηγαὶ, θάλασσαι καὶ ποταμοὶ, κήτη καὶ πάντα τὰ κινȣ́μενα ἐν τοῖς ὕδασι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εἰς Στίχους η΄.

Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τȣ̃ οὐρανȣ̃, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τοὺς αἰῶνας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰς Στίχους ς΄.

Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δȣ̃λοι Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ Δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εἰς Στίχους δ΄.

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, καὶ Μισαὴλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψȣ̃τε αὐτὸν εἰς τȣ̀ς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον· ὑμνȣ̃μεν καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογȣ̃μεν, καὶ προσκυνȣ̃μεν τὸν Κύριον, ὑμνȣ̃ντες καὶ ὑπερυψȣ̃ντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν.

## ΩΔΗ ΕΝΝΑΤΗ.

Ὠδὴ τῆς Θεοτόκου, ἐκ τȣ̃ κατὰ Λουκᾶν.
Κεφ. ά. 46.

Τὸν Υἱὸν ὑμνεῖ καὶ Θεὸν Μήτηρ Κόρη..
Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτȣ̃· ἰδȣ̀ γὰρ ἀπὸ τȣ̃ νῦν μακαριȣ̃σί με πᾶσαι αἱ γενεαί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτȣ̃· καὶ τὸ ἔλεος αὐτȣ̃ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτȣ̃, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτȣ̃ντας ἐξαπέστειλε κενούς.

Ἀνελάβετο Ἰσραὴλ παιδὸς αὐτȣ̃, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτȣ̃ ἕως αἰῶνος.

## Προσευχὴ Ζαχαρίου, τȣ̃ Πατρὸς τȣ̃ Προδρόμου. Λουκᾶ. ά. 18.

### Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τȣ̃ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτȣ̃.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυῒδ τȣ̃ παιδὸς αὐτȣ̃.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνος Προφητῶν αὐτȣ̃.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτȣ̃.

Εἰς Στίχους ή.

Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν Πατέρα ἡμῶν, τȣ̃ δȣ̃ναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτȣ̃, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰς Στίχους ϛ΄.

Καὶ σὺ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδὲς αὐτȣ̃.

Τȣ̃ δȣ̃ναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτȣ̃, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεȣ̃ ἡμῶν.

Εἰς Στίχους δ΄.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψȣς, ἐπιφάναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτȣ καθημένοις.

Τȣ̃ κατευθῦναι τȣ̀ς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα, καὶ νῦν.

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΨΑΛΛΟΜΕΝΑ

## ΕΝ ΤΑΙΣ ΔΕΣΠΟΤΙΚΑΙΣ

### ΘΕΟΜΗΤΟΡΙΚΑΙΣ ΚΑΙ ΤΙΝΩΝ ΑΓΙΩΝ ΕΟΡΤΑΙΣ

## ΕΙΣ ΤΗΝ ΕΝΝΑΤΗΝ ῼΔΗΝ

### ΕΙΣ ΤΗΝ ΕΙΣΟΔΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἦχος ά.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν χερσὶ τῶν Ἱερέων.

Ἦχος δ'.

Ἄγγελοι τὴν εἴσοδον τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

### ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Ἦχος ά.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου, Θεὸν σαρκὶ τεχθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ, τεχθέντα Βασιλέα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ τῶν μάγων, Θεὸν προσκυνηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ ἀστέρος, τοῖς μάγοις μηνυθέντα.

Μεγάλυνον ψυχή μου, τὴν ἁγνὴν Παρθένον, τὴν γεννησαμένην, Χριστὸν τὸν Βασιλέα.

Μάγοι καὶ Ποιμένες, ἦλθον προσκυνῆσαι, Χριστὸν τὸν γεννηθέντα, ἐν Βηθλεὲμ τῇ πόλει.

Σήμερον ἡ Παρθένος, τίκτει τὸν Δεσπότην, ἔνδον ἐν τῷ σπηλαίῳ.

Σήμερον ὁ Δεσπότης, τίκτεται ὡς βρέφος, ὑπὸ Μητρὸς Παρθένου.

Σήμερον οἱ ποιμένες, βλέπουσι τὸν Σωτῆρα, σπαργάνοις εἰλημένον, καὶ κείμενον ἐν φάτνῃ.

Σήμερον ὁ Δεσπότης, ῥάκει σπαργανοῦται, ὁ ἀναφὴς ὡς βρέφος.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἐτέχθη, ἐκ τῆς Παρθένου Κόρης.

Οὐράνιαι Δυνάμεις, τεχθέντα τὸν Σωτῆρα, Κύριον καὶ Δεσπότην, μηνύουσι τῷ κόσμῳ.

Δόξα Πατρί.

Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Καὶ νῦν, Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.

### ΕΙΣ ΤΗΝ ΠΕΡΙΤΟΜΗΝ.

Ἦχος β'.

Μεγάλυνον ψυχή μου, τὸν κατὰ τὸν νόμον, σαρκὶ περιτμηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ, περιτομὴν λαβόντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σήμερον ὁ Δεσπότης, τέμνεται τὴν σάρκα, ὡς βρέφος πληρῶν τὸν νόμον.

Σήμερον ὁ Δεσπότης, σαρκὶ περιετμήθη, καὶ Ἰησοῦς ἐκλήθη.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ.

### Ἦχος β΄.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἱεράρχαις, Βασίλειον τὸν μέγαν.

Μεγάλυνον ψυχή μου, τὸν τῆς οἰκουμένης, ὑπέρλαμπρον φωστῆρα.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ Καισαρείας, Βασίλειον τὸν μέγαν.

Μεγάλυνον ψυχή μου, τὸν κεκοσμηκότα, Χριστοῦ τὴν Ἐκκλησίαν.

## ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΕΙΑ.

### Ἦχος β΄.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Προδρόμου, τὸ βάπτισμα λαβόντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἰορδάνῃ, ἐλθόντα βαπτισθῆναι.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς πατρῴας, φωνῆς μαρτυρηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἕνα τῆς Τριάδος, κλίναντα τὸν αὐχένα, καὶ βάπτισμα λαβόντα.

Προφῆτα δεῦρο πρός με, ἔκτεινον τὴν χεῖρα, καὶ βάπτισόν με τάχος.

Προφῆτα ἄφες ἄρτι, καὶ βάπτισόν με θέλων· πληρῶσαι καὶ γὰρ ἦλθον, πᾶσαν δικαιοσύνην.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σήμερον ὁ Δεσπότης, κλίνει τὸν αὐχένα, χειρὶ τῇ τοῦ Προδρόμου.

Σήμερον Ἰωάννης, βαπτίζει τὸν Δεσπότην, ἐν ῥείθροις Ἰορδάνου.

Σήμερον ὁ Δεσπότης, νάμασιν ἐνθάπτει, βροτῶν τὴν ἁμαρτίαν.

Σήμερον ὁ Δεσπότης, ἄνωθεν μαρτυρεῖται, Υἱὸς ἠγαπημένος.

Σήμερον ὁ Δεσπότης, ἦλθεν ἁγιάσαι, τὴν φύσιν τῶν ὑδάτων.

Σήμερον ὁ Δεσπότης, τὸ βάπτισμα λαμβάνει, ὑπὸ χειρὸς Προδρόμου.

Δόξα.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Καὶ νῦν.

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ.

Ἦχος β΄.

Μεγάλυνον ψυχή μου, τοὺς ἐν Ἱεράρχαις, Φωστῆρας τρεῖς μεγάλους.

Μεγάλυνον ψυχή μου, τοὺς τρισσολαμπτῆρας, Χριστοῦ τῆς Ἐκκλησίας.

Μεγάλυνον ψυχή μου, τοὺς κεκοσμηκότας, Χριστοῦ τὴν Ἐκκλησίαν.

Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Ἦχος πλ. δ΄.

Μεγάλυνον ψυχή μου, τοὺς τῆς παναγίας, Τριάδος τρεῖς Ποιμένας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μεγάλυνον ψυχή μου, τοὺς ἐκ Τρισηλίου, Φωστῆρας τρεῖς μεγάλους.

Δόξα.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Καὶ νῦν Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

## ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ.

Ἦχος γ'.

Ἀκατάληπτόν ἐστι, τὸ τελούμενον ἐν σοί, καὶ Ἀγγέλοις καὶ βροτοῖς, Μητροπάρθενε ἁγνή.

Ἀγκαλίζεται χερσὶν, ὁ πρεσβύτης Συμεὼν, τὸν τοῦ νόμου Ποιητὴν, καὶ Δεσπότην τοῦ παντός.

Βουληθεὶς ὁ πλαστουργὸς, ἵνα σώσῃ τὸν Ἀδάμ, μήτραν ᾤκησε τὴν σὴν τῆς Παρθένου καὶ Ἁγνῆς.

Γένος ἅπαν τῶν Βροτῶν, μακαρίζει σε Ἁγνὴ, καὶ δοξάζει σε πιστῶς, ὡς Μητέρα τοῦ Θεοῦ.

Δεῦτε ἴδετε Χριστὸν, τὸν Δεσπότην τοῦ παντὸς, ὃν βαστάζει Συμεὼν, σήμερον ἐν τῷ Ναῷ.

Ἐπιβλέπεις πρὸς τὴν γῆν, καὶ ποιεῖς τρέμειν αὐτήν· καὶ πῶς γέρων κεκμηκὼς, σὲ κατέχει ἐν χερσί;

Ζήσας ἔτη Συμεὼν ἕως εἶδε τὸν Χριστὸν, ἀνεβόα πρὸς αὐτὸν, Νῦν ἀπόλυσιν ζητῶ.

Ἡ λαβὶς ἡ μυστικὴ, ἡ τὸν ἄνθρακα Χριστὸν, συλλαβοῦσα ἐν γαστρὶ, σὺ ὑπάρχεις Μαριάμ.

Θέλων ἐνηνθρώπησας, ὁ προάναρχος Θεὸς, καὶ Ναῷ προσφέρεσαι, τεσσαρακονθήμερος.

Κατελθόντ' ἐξ οὐρανοῦ, τὸν Δεσπότην τοῦ παντὸς, ὑπεδέξατο αὐτὸν, Συμεὼν ὁ Ἱερεύς.

Λάμπρυνόν μου τὴν ψυχὴν, καὶ τὸ φῶς τὸ αἰσθητὸν, ὅπως ἴδω καθαρῶς, καὶ κηρύξω σε Θεόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μητροπάρθενε Ἁγνή, τί προσφέρεις τῷ Ναῷ, νέον βρέφος ἀποδοῦς, ἐν ἀγκάλαις Συμεών;

Νῦν ἀπόλυσιν ζητῶ, ἀπὸ σοῦ τοῦ Πλαστουργοῦ, ὅτι εἶδόν σε Χριστὲ, τὸ σωτήριόν μου φῶς.

Ὃν οἱ ἄνω λειτουργοὶ, τρόμῳ λιτανεύουσι, κάτω νῦν ὁ Συμεὼν, ἀγκαλίζεται χερσί. Δόξα Πατρί.

Ἡ τῇ φύσει μὲν Μονὰς, τοῖς προσώποις δὲ Τριὰς, φύλαττε τοὺς δούλους σου, τοὺς πιστεύοντας εἰς σέ.

Καὶ νῦν, Θεοτοκίον.

Θεοτόκε ἡ ἐλπὶς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.

## ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

### Ἦχος ά.

Μεγάλυνον ψυχή μου, τὸν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως, παθόντα καὶ ταφέντα, καὶ ἐξαναστάντα, τριήμερον ἐκ τάφου.

Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων, τὴν ἁμαρτίαν κόσμου.

Ὁ Ἄγγελος ἐβόα, τῇ Κεχαριτωμένῃ, Ἁγνὴ Παρθένε χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε, ὁ σὸς Υἱὸς ἀνέστη, τριήμερος ἐκ τάφου.

Μαγδαληνὴ Μαρία, προσέδραμε τῷ τάφῳ, καὶ τὸν Χριστὸν ἰδοῦσα, ὡς κηπουρὸν ἠρώτα.

Ἄγγελος ἐξαστράπτων, ταῖς Γυναιξὶν ἐβόα· Παύσασθε τῶν δακρύων, ὅτι Χριστὸς ἀνέστη.

Ἐξύπνησας ὑπνώσας, νεκροὺς τοὺς ἀπ' αἰῶνος, βασιλικῶς βρυχήσας, ὡς ἐξ Ἰούδα λέων.

Ὅτι Χριστὸς ἀνέστη, τὸν θάνατον πατήσας, καὶ τοὺς νεκροὺς ἐγείρας, λαοὶ ἀγαλλιᾶσθε.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σήμερον ὁ Δεσπότης, ἐσκύλευσε τὸν ᾅδην, ἐγείρας τοὺς δεσμίους, οὓς ἀπ' αἰῶνος εἶχε, δεινῶς κεκρατημένους.

Δόξα Πατρί.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Καὶ νῦν, Θεοτοκίον.

Χαῖρε Παρθένε χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη, τριήμερος ἐκ τάφου.

### ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ.

Ἦχος δ'.

Ἄγγελοι τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

### ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἦχος α'.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παναγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΟΔΗΓΙΑ

## ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΟΛΟΝ ΤΟ ΕΤΟΣ ΨΑΛΛΟΜΕΝΩΝ

# ΚΑΤΑΒΑΣΙΩΝ.

Α΄. Ἀπὸ τῆς πρώτης Ἰανουαρίου μέχρι τῆς ιδ΄. τοῦ αὐτοῦ, Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ, Στίβει θαλάσσης.

Β΄. Ἀπὸ τῆς ιέ. Ἰανουαρίου μέχρι τῆς θ΄. Φεβρουαρίου, Χέρσον ἀβυσσοτόκον.

Ἐὰν δ' ἐν τῷ μεταξὺ τούτῳ συμπέσωσιν αἱ Κυριακαὶ τοῦ Ἀσώτου, τῆς Ἀπόκρεω ἢ τῆς Τυρινῆς, εἰς μὲν τὴν πρώτην ψάλλομεν, Τὴν Μωσέως ᾠδὴν, εἰς δὲ τὴν δευτέραν, Βοηθὸς καὶ σκεπαστὴς, εἰς δὲ τὴν τρίτην, Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Γ΄. Ἐν ταῖς Κυριακαῖς τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς,

Τῇ Α΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Τῇ Β΄. Δ΄. καὶ Ε΄. Ἀνοίξω τὸ ςόμα μου.

Τῇ Γ΄. Ὁ θειότατος προετύπωσε.

Δ΄. Τῷ Σαββάτῳ τοῦ Λαζάρου, Ὑγρὰν διοδεύσας.

Ε΄. Τῇ Κυριακῇ τῶν Βαΐων, Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου.

Ϛ΄. Εἰς τὸν Εὐαγγελισμὸν, Ἀνοίξω τὸ στόμα μου.

Ζ΄. Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, Τμηθείσῃ τμᾶται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Η'. Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ, Κύματι θαλάσσης.

Θ'. Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, καὶ μέχρι τοῦ Σαββάτου πρὸ τῆς Κυριακῆς τοῦ Τυφλοῦ, ἐκτὸς τῆς Μεσοπεντηκοστῆς, Ἀναστάσεως ἡμέρα.

Ι'. Τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς, Θάλασσαν ἔπηξας.

ΙΑ'. Τῇ Κυριακῇ τοῦ Τυφλοῦ, Τῷ σωτῆρι Θεῷ.

ΙΒ'. Ἐν τῇ Ἀποδόσει τοῦ Πάσχα, Ἀναστάσεως ἡμέρα.

ΙΓ'. Τῇ Πέμπ. τῆς Ἀναλήψεως } Θείῳ καλυφθείς.

ΙΔ'. Τῇ Κυρ. τῶν ἁγ. Πατέρ. }

ΙΕ'. Τῷ Σαββάτῳ τῶν ψυχῶν πρὸ τῆς Κυριακῆς τῆς Ἀπόκρεω, Ἆσμα ἀναπέμψωμεν λαοί.

ΙϚ'. Τῷ Σαββάτῳ τῶν ψυχῶν πρὸ τῆς Πεντηκοστῆς Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΙΖ'. Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς, καὶ μέχρι τοῦ Σαββάτου πρὸ τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων, Πόντῳ ἐκάλυψε, καὶ Θείῳ καλυφθείς.

ΙΗ'. Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων, καὶ μέχρι τῆς κϛ'. Ἰουλίου, Ἀνοίξω τὸ στόμα μου.

ΙΘ'. Ἀπὸ τῆς κζ'. μέχρι τῆς λά. Ἰουλίου Χοροὶ Ἰσραήλ.

Κ'. Ἀπὸ τῆς ά. Αὐγούστου μέχρι τῆς κά. Σεπτεμβρίου, ἐκτὸς τῆς ἑορτῆς τῆς Κοιμήσεως τῆς Θεοτόκου, Σταυρὸν χαράξας Μωσῆς.

ΚΑ'. Ἀπὸ τῆς κβ'. Σεπτεμβρίου μέχρι τῆς κ'. Νοεμβρίου, Ἀνοίξω τὸ στόμα μου.

ΚΒ'. Ἀπὸ τῆς κά. Νοεμβρίου μέχρι τῆς λά. Δεκεμβρίου, Χριστὸς γεννᾶται· τὴν ἡμέραν δὲ τῶν Χριστουγέννων συμψάλλεται καὶ τό, Ἔσωσε λαόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΨΑΛΛΟΜΕΝΑ

## ΕΝ ΤΑΙΣ ΘΕΙΑΙΣ ΚΑΙ ΙΕΡΑΙΣ

## ΛΕΙΤΟΥΡΓΙΑΙΣ

### ΚΑΙ ΑΛΛΑΙΣ ΑΚΟΛΟΥΘΙΑΙΣ

### Πρὸς τὴν τιμιωτέραν.

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ.

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν βασιλείαν καὶ κυριότητα.

Ἣν ὑμνοῦσι πάντες οἱ γηγενεῖς, καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὴν ὑπὸ τῶν πάντων, πιστῶν προσκυνουμένην, Μονάδα κατ' οὐσίαν τὴν τρισυπόστατον.

Τὴν κυριαρχίαν τῶν Χερουβὶμ, καὶ τὴν θεαρχίαν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαιρέτως Τριάδα ἐν Μονάδι, τὴν ὄντως Θεαρχίαν σὲ μεγαλύνομεν.

Πατέρα τὸν ἄναρχον καὶ Θεὸν, συνάναρχον Λόγον, σὺν τῷ Πνεύματι προσκυνῶ· ἀχώριστον μίαν, ἡνωμένην οὐσίαν, τρισάριθμον μονάδα, ὕμνοις τιμήσωμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὰς ἀκτινοβόλους σου ἀστραπὰς, λάμψον μοι Θεέ μου, τρισυπόστατε παντουργὲ καὶ εἰκόν με δεῖξον, σῆς ἀπροσίτου δόξης, φαιδρὸν καὶ φωτοφόρον καὶ ἀναλλοίωτον.

Ὦ Τριὰς ἁγία καὶ φωταυγὴς, δέξαι με τὸν ἄσωτον· Ἰησοῦ μου καὶ ποιητὰ, σῶσον μὴ παρίδῃς, τῶν σῶν χειρῶν τὸ πλάσμα· οἰκτίρμον ἐλεῆμον, Κύριε σῶσόν με.

## ΕΙΣ ΤΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν Θεὸν Λόγον, ὃν φρίττει καὶ τρέμει τὰ Χερουβὶμ, καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ὃν φρίσσει καὶ τρέμει τὰ Χερουβὶμ, καὶ δοξολογοῦσι τῶν Ἀγγέλων αἱ στρατιαὶ, τὸν ἐκ τῆς Παρθένου, ἀφράστως σαρκωθέντα, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ἰησοῦ γλυκύτατε Ἰησοῦ, Ἰησοῦ Σωτήρ μου, τῆς ψυχῆς μου τὰ χαλεπὰ, θεράπευσον πάθη, Χριστέ μου Ἰησοῦ μου, καὶ σῶσον Ἰησοῦ μου τοὺς ἀνυμνοῦντάς σε.

Δέσποτα φιλάνθρωπε Βασιλεῦ, μὴ ἀκούσω τότε, ἐν ἡμέρᾳ τῇ φοβερᾷ, φωνῆς τῆς ὀργῆς σου, εἰς πῦρ ἀποπεμπούσης, ἀλλ' οἴκτειρον καὶ σῶσον ὡς ὑπεράγαθος.

## ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ.

Τὸν ἀνυψωθέντα ἐν τῷ Σταυρῷ, ἐν τόπῳ Κρανίου, καὶ σαλεύσαντα πᾶσαν γῆν, ἥλιος ὡς εἶδε, κρεμάμενον ἐν ξύλῳ, τὸ φῶς συνεσκοτίσθη, καὶ γῆ σαλεύεται.

Τοὺς τετειχισμένους τῷ σῷ Σταυρῷ, καὶ ἐγκαυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χωμένους, τοῖς παθήμασί σου Σωτήρ, στήριξον ἐν πέτρα, τῶν ἐντολῶν σου Λόγε, υἱούς τε ἀναδείξας τῆς Βασιλείας σου.

Χαῖρε σκῆπτρον ἅγιον τȣ̃ Χριστοῦ, Σταυρὲ ζωηφόρε, καύχημα τῶν Χριστιανῶν, ἀνάκτων τὸ κλέος, καὶ δόξα ἱερέων, δαιμόνων καθαιρέτα, Σταυρὲ πανάγιε.

Χαίροις τὸ τριπόθητον τοῦ Χριστοῦ, πανάγιον ξύλον, ζωηφόρε θεῖε Σταυρέ· ἐν σοὶ γὰρ ὁ πάντων Θεός τε καὶ Δεσπότης, ἐξέτεινε τὰς χεῖρας διὰ τὸ σῶσαι ἡμᾶς.

Σταυρὲ τρισμακάριστε τοῦ Χριστοῦ, σὲ πάντες τιμῶμεν, προσκυνοῦμεν πανευσεβῶς, καὶ φόβῳ καὶ πόθῳ, καὶ χαρᾷ καὶ ἀγάπῃ, χείλεσιν ἀναξίοις κατασπαζόμεθα.

## ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ.

Θέλων ἐπιδεῖξαι τοῖς Μαθηταῖς, δύναμιν ἐξ ὕψους, καὶ σοφίαν παρὰ Πατρός, εἰς ὄρος ἀνῆλθες Χριστὲ τοῦ Θαβωρίου, καὶ λάμψας ὡς Δεσπότης, πάντας ἐφώτισας.

## ΘΕΟΤΟΚΙΑ.

Ἐκ νεκρῶν ἰδοῦσα τὸν σὸν Υἱὸν, ἄχραντε Παρθένε, ἀναστάντα θεοπρεπῶς, χαρᾶς ἀνεκφράστου, ἡ κτίσις ἐπληροῦτο, αὐτὸν δοξολογοῦσα, καὶ σὲ γεραίρουσα.

Πόκον σε προεῖδεν ὁ Γεδεὼν, βλαστήσασαν ῥάβδον, ὁ θειότατος Ἀαρὼν, Μωσῆς ὁ Θεόπτης, στάμνον τὸ μάννα σχοῦσαν, ἡμεῖς δὲ Θεοτόκον σὲ καταγγέλλομεν.

Ὅταν με ἐκ τȣ́του τȣ̃ ταπεινȣ̃, σώματος χωρίσῃ, τῇ προστάξει ὁ σὸς Υἱὸς, φάνηθί μοι τότε, προστάτις Θεοτόκε, εἰς θείας ἀναπαύσεις καθοδηγοῦσά με.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σοῦ ἄλλην, οὐ γινώσκω καταφυγήν· τὸν ἐν ἁμαρτίαις, παντοίαις ὑπαχθέντα, ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Ὢ τῶν ὑπὲρ ἔννοιαν δωρεῶν! ὢ τῆς ἀποῤῥήτου, καὶ ἀφράστου διαγωγῆς, ἧς κατηξιώθη, τὸ γένος τῶν ἀνθρώπων, Μαρία Θεοτόκε, διὰ τοῦ τόκου σου!

### ΕΙΣ ΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ.

Μιχαὴλ Ἀρχάγγελε τοῦ Χριστοῦ, μὴ ἔλθῃς ὡς λέων, ἀγριώτατος ἐπ' ἐμέ, μηδὲ τὴν ψυχήν μου ἁρπάσῃς ὡς στρουθίον· ἐν ὥρᾳ τοῦ θανάτου σύ μοι βοήθησον.

Ἔχω σε προστάτην καὶ βοηθόν, φύλακα καὶ σκέπην, τῆς ψυχῆς μου τῆς ταπεινῆς, Μιχαὴλ Πρωτάρχα, καὶ μέγα Ταξιάρχα· ἐν ὥρᾳ τοῦ θανάτου σύ μοι βοήθησον.

Χαίροις ἱερώτατε Γαβριήλ, χαίροις πρωτοστάτα, τῶν Ἀγγέλων, προμηνυτὰ χαίροις ὁ τὸ Χαῖρε, μηνύσας τῇ Παρθένῳ, ἐν Ναζαρὲτ τῇ πόλει· σὲ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς δύο φωστῆρας, τοὺς μεγάλους καὶ φωταυγεῖς, Μιχαὴλ τὸν μέγαν, καὶ Γαβριὴλ τὸν θεῖον, τοὺς δύο Ταξιάρχας τοῦ Παντοκράτορος.

### ΕΙΣ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστόν, καὶ τῆς Ἐλισάβετ, τὴν παγκόσμιον χαρμονήν, τὴν φωνὴν τοῦ Λόγου, τὸν λύχνον τοῦ Ἡλίου, τὸν Πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

Μείζονα κριθέντα τῶν Προφητῶν, σὲ τὸν τῆς ἐρήμου, μέγαν ὄντως καθηγητήν, κήρυκα τὸν θεῖον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ Βαπτιστὴν Κυρίου, τὸν Πρόδρομον τὸν μέγαν ὕμνοις δοξάσωμεν.

ΕΙΣ ΤΟΥΣ ΑΠΟΣΤΟΛΟΥΣ.

Πέτρε θεῖον ἅρμα Χερουβικὸν, οὐράνιε Παῦλε, ὄχημά τε Σεραφικὸν, ἡ πύρινος γλῶσσα, τοῦ Θεανθρώπου Λόγου, πυρός με τῆς γεέννης ἀπολυτρώσασθε.

Τὰς εὐήχους σάλπιγγας τοῦ Χριστοῦ, νῦν τοὺς Ἀποστόλους εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς τὴν οἰκουμένην διδάξαντας πιστεύειν, τὴν σάρκωσιν τοῦ Λόγου, καὶ τὴν ἀνάστασιν.

Τῆς Θεολογίας τὸν Ἀρχηγὸν, τὸν ἠγαπημένον Ἰωάννην καὶ Μαθητὴν, τὸν ἐπὶ τὸ στῆθος Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον, πάντες ὑμνήσωμεν.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν Θεηγόρον, τῶν Πατέρων τὸν θεῖον ὑπασπιστὴν, καὶ τῆς Ἀχαΐας ἀντιλήπτορα τὸν θερμόν· Ἀνδρέαν τὸν μέγαν, καὶ μύστην τοῦ Σωτῆρος, πρωτόκλητον φανέντα, πάντες ὑμνήσωμεν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΓΕΩΡΓΙΟΝ.

Ἄστρον ἀνατέταλκε φαεινὸν, ἐκ τῆς Καππαδόκων, ὁ πολύαθλος τοῦ Χριστοῦ, Μάρτυς καὶ φωτίζει, πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ μέγας· ὃν νῦν γεραίρομεν.

Φύλαττε σοὺς δούλους, ὦ ἀθλητὰ, τοὺς ἀθροιζομένους, ἐν τῷ οἴκῳ σου τῷ σεπτῷ, καὶ μετ' εὐλαβείας καὶ πόθου σε ὑμνοῦντας, Γεώργιε τρισμάκαρ, ἀξιοθαύμαστε.

Τὸν ἐν ἀθλοφόροις θαυματουργὸν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθὸν, τὸν θεῖον ὁπλίτην, καὶ Μάρτυρα Κυρίου, Γεώργιον τὸν μέγαν πάντες τιμήσωμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ.

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητὴν, καὶ στεφανηφόρον, ἐν τοῖς Μάρτυσι θαυμαστὸν, τὸν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Χαίροις τῶν Μαρτύρων κλέος στεῤῥὸν, ὄντως ἀθλοφόρε, Μυροβλύτα, καὶ τῶν πιστῶν, ὁ λόγχῃ πλευράν σου, νυγεὶς ὡς ὁ Δεσπότης, ῥείθροις τῶν σῶν αἱμάτων, πάντας ἁγίασον.

### ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΟΔΩΡΟΝ.

Φρούρει τὴν σὴν ποίμνην ὦ ἀθλητὰ, Μάρτυς τοῦ Κυρίου, τοὺς τιμῶντάς σε εὐσεβῶς, καὶ πανευχαρίστως, καὶ λύου ἐγκλημάτων, Θεόδωρε τρισμάκαρ ἀξιοθαύμαστε.

### ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ.

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ Δεσπότου, τὸν φωστῆρα τὸν φαεινὸν, τὸν ἐκ Καισαρείας, καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν πάντες τιμήσωμεν.

### ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ.

Τῆς Θεολογίας τὸν θησαυρὸν, καὶ τῶν Θεολόγων ἀνεπίληπτον ὁδηγὸν, τὸν θεῖον ποιμένα καὶ λειτουργὸν Κυρίου, Γρηγόριον τὸν μέγαν πάντες ὑμνήσωμεν.

### ΕΙΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ.

Χαίροις ὁ χρυσόῤῥειθρος ποταμὸς, ὁ τὴν οἰκουμένην καταρδεύων νᾶμα χρυσοῦν· χαίροις ὁ τὴν γλῶτταν, χρυσοῦς καὶ τὴν καρδίαν, Χρυσόστομε τρισμάκαρ, Πατριαρχῶν ἡ κρηπίς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς τρεῖς Ἱεράρχας, τοὺς μεγάλους καὶ φωταυγεῖς, Βασίλειον ἅμα, τῷ σοφῷ Γρηγορίῳ, τὸν μέγαν Ἰωάννην, πάντες δοξάσωμεν.

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ.

Ὀρφανῶν προςάτην σε καὶ χηρῶν, πεινώντων τροφέα, πενομένων τε πλουτιστὴν, αἰχμαλώτων ῥύστην, καὶ πλεόντων σωτῆρα, κεκτήμεθα παμμάκαρ, σοφὲ Νικόλαε.

Ὕψωσον παλάμας σου πρὸς Θεὸν, ὑπὲρ τοῦ λαοῦ σου, Ἱεράρχα Πάτερ σοφὲ, καὶ παράσχου λύσιν, πολλῶν ἀμπλακημάτων, ῥυσθῆναι τῆς μελλούσης φρικτῆς κολάσεως.

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΠΥΡΙΔΩΝΑ.

Χαίροις τῶν θαυμάτων ὁ ποταμὸς, χαίροις ἀσθενούντων, καὶ πασχόντων ὁ ἰατρὸς, χαίροις τῶν λογίων, τοῦ Πνεύματος ὁ σπόρος, Σπυρίδων Τριμυθοῦντος, ποιμὴν τρισόλβιε.

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΗΤΡΟΦΑΝΗΝ.

### Τὸν πρῶτον Πατριάρχην Κωνσταντινουπόλεως.

Χαίροις τῶν Πατέρων ἡ καλλονὴ, χαίροις τῶν Ὁσίων, κανὼν θεῖος ἐν ἀρετῇ, χαίροις, Ἐκκλησίας, ὡραῖσμα καὶ κλέος, βάθρον Πατριαρχείας, Πάτερ Μητρόφανες.

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΑΝΝΑΝ.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, Ἄνναν τὴν ἁγίαν,

τὴν Προμήτορα τοῦ Χριστοῦ, τὴν ἀξιωθεῖσαν, γεννῆσαι τὴν Παρθένον, τὴν μόνην Θεοτόκον, καὶ παναμώμητον.

### ΕΙΣ ΤΑΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΑΣ ΜΑΡΙΝΑΝ, ΠΑΡΑΣΚΕΥΗΝ, ΚΑΙ ΘΕΟΔΩΡΑΝ.

Τὴν λαμπάδα πάντες τὴν φαεινὴν, καὶ τῆς παρθενίας τὸν ἀσύλητον θησαυρὸν τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Μαρίναν τὴν ἁγίαν, πάντες ὑμνήσωμεν.

Τὴν Μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τὴν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθὸν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Παρασκευὴν τὴν θείαν, πάντες ὑμνήσωμεν.

Χαίροις Θεοδώρα πανευκλεὴς, χαίροις εὐσεβείας, ἀνακήρυξις ἀληθὴς, χαίροις παῤῥησίαν, ἐν Θεῷ κεκτημένη, Αὔγουστα καὶ Ὁσία ἀειμακάριστε.

### ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΓΙΟΥΣ.

Ἔνδοξοι Ἀπόστολοι τοῦ Χριστοῦ Μάρτυρες Κυρίου, καὶ πανθαύμαστοι ἀθληταὶ, Προφητῶν ὁ δῆμος, Ἱεραρχῶν Ὁσίων, ποιήσατε πρεσβείαν ὑπὲρ ἡμῶν πρὸς Θεόν.

Τοὺς Ἁγίους πάντας ἀνευφημῶ, Προφήτας Ὁσίους, Ἀποστόλους Καθηγητὰς, Μαρτύρων τὴν πᾶσαν, ὁμήγυριν συμφώνως, καὶ πάντας τοὺς Ἁγίους πόθῳ καὶ φόβῳ ὑμνῶ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.

### ΤΗ͂Ι ΔΕΥΤΕΡᾼ, ΤΩΝ ΑΣΩΜΑΤΩΝ.

Ἄγγελοι Ἀρχάγγελοι καὶ Ἀρχαὶ, Ἐξουσίαι Θρόνοι, Κυριότητες Χερουβὶμ, Σεραφὶμ Δυνάμεις, Ἑξαπτέρυγα θεῖα, καὶ πολυόμματά τε, φρουροί μου γίνεσθε.

Θεοτοκίον.

Ὡς ὑπὲρ τὴν ψάμμον τῶν θαλασσῶν, ὑπὲρ ἀριθμόν τε, τῶν ἀστέρων τοῦ οὐρανοῦ, μόνος ἁμαρτήσας, μόνος καὶ κατεκρίθην· ὦ Δέσποινα τοῦ κόσμου, σύ με διάσωσον.

### ΤΗ͂Ι ΤΡΙΤΗ͂Ι, ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ.

Τὸν τῆς μετανοίας καθηγητὴν, καὶ τῶν Μοναζόντων ἀντιλήπτορα καὶ φρουρὸν, τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, τὸν Πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

Θεοτοκίον.

Πᾶσαι ὡς προέφης αἱ γενεαὶ, σὲ μακαριοῦμεν, παμμακάριστε Μαριάμ· καὶ γὰρ ἐν γαστρί σου, τῇ μακαρίᾳ Κόρῃ, ἐχώρησας τὸν πάντων μακαριώτατον.

Πρόσδεξαι Κυρία Μήτηρ Χριστοῦ, ὕμνον σοῦ οἰκέτου, ταπεινοῦ καὶ ἁμαρτωλοῦ κατακεκριμμένου καὶ βεβορβορωμένου, ἐκ βάθους τῆς καρδίας, καὶ μὴ παρίδῃς με.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΗ ΤΕΤΑΡΤΗ, ΣΤΑΥΡΩΣΙΜΑ.

Ὑμνῶ σου τὴν Σταύρωσιν ἀγαθὲ, ὑμνῶ σου τὰ πάθη, προσκυνῶ σου καὶ τὴν ταφὴν, τοὺς ἥλους τὴν λόγχην, τὸν κάλαμον τὸν σπόγγον, τὰ πάντα προσκυνῶ σου, Σῶτερ μακρόθυμε.

Τοῦ Σταυροῦ τὸ ξύλον πάντες πιστοὶ, δεῦτε ἀνυμνοῦμεν, καὶ ὁρῶμεν περιχαρῶς· αὐτὸς γὰρ καθεῖλε, τὴν πλάνην τῶν εἰδώλων, καὶ ἔσωσε τοὺς πίστει, μακαριοῦντας αὐτόν.

Θεοτοκίον.

Ἄχραντε Παρθένε Μήτηρ Θεοῦ, καὶ δεδοξασμένη, ὑπὲρ πᾶσαν φύσιν βροτῶν, ἀκήρατε Κόρη, ἁγία Θεοτόκε, περίσωζε τοὺς πίστει, σὲ μεγαλύνοντας.

ΤΗ ΠΕΜΠΤΗ.

Τῶν ἁγίων Ἀποστόλων, καὶ τῦ ἁγίȣ Νικολάου.

Πέτρον Παῦλον Μάρκον σὺν τῷ Λουκᾷ, Φίλιππον Ματθαῖον, Ἰωάννην τε καὶ Θωμᾶν, Σίμωνα Ἀνδρέαν, σὺν θείῳ Ἰακώβῳ, καὶ τὸν Βαρθολομαῖον πάντες ὑμνήσωμεν.

Νικόλαον πάντες τὸν ἰατρὸν, ψυχῶν καὶ σωμάτων, εὐφημήσωμεν οἱ πιστοί· Χαίροις Ἱεράρχα, Μυρέων τῆς Λυκίας, περίσωζε τοὺς πίστει, σὲ μεγαλύνοντας.

Θεοτοκίον.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου ὕμνοις τιμήσωμεν.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ, ΣΤΑΥΡΩΣΙΜΑ.

Θέλων ἐσταυρώθης ὦ Λυτρωτὰ, καὶ ἐτραυματί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σθης, ὑπεράγαθε δι' ἐμὲ, καὶ λόγχῃ ἐτρώθης τὴν ἄχραντον πλευράν σου· ὑμνῶ τὰ μεγαλεῖα τῆς σῆς Θεότητος.

Σταυροθεοτοκίον.

Τὴν ζωὴν ὁρῶσα ἐν τῷ Σταυρῷ, Κόρη κρεμαμένην, ἀνωλόλυζες μητρικῶς, τὴν τῶν Ἰουδαίων ἀπώλειαν θρηνοῦσα, τῶν μὴ ὁμολογούντων Θεὸν καὶ Κύριον.

Θεοτοκίον.

Τὸ θυμιατήριον τὸ χρυσοῦν, τὴν στάμνον τὴν ῥάβδον, τὴν λυχνίαν τὴν θεαυγῆ, τὸν τόμον τὸν θεῖον, ἐν ᾧ Θεοῦ δακτύλῳ, ὁ Λόγος ἐνεγράφη, σὲ μεγαλύνομεν.

## ΤΩ ΣΑΒΒΑΤΩ, ΝΕΚΡΩΣΙΜΑ.

Ἀνάπαυσον Κύριε τὰς ψυχὰς, τῶν προκοιμηθέντων Ὀρθοδόξων Χριστιανῶν, ἐν τόπῳ ἁγίῳ, ἐν χώρα τῶν Δικαίων, ὅπου τὸ φῶς σου λάμπει, τούτους κατάταξον.

Ταῖς τῶν Ἀποστόλων σου προσευχαῖς, Προφητῶν Μαρτύρων, καὶ ἁγίων Ἱεραρχῶν, καὶ πάντων Ὁσίων, ψυχὰς ἃς προσελάβου, ἀνάπαυσον Οἰκτίρμον, ὡς ὑπεράγαθος.

Θεοτοκίον.

Χαῖρε τῶν Ἀγγέλων ἡ χαρμονὴ, καὶ τῶν Ἀποστόλων, Ἀρχαγγέλων καὶ Προφητῶν, Μαρτύρων Ὁσίων, καὶ πάντων τῶν Δικαίων, ἀνύμφευτε Παρθένε, σκέπε τὴν πόλιν σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κατανυκτικόν.

Καΐν ὑπερέβην καὶ Μανασσῆν, Ἄσωτον καὶ Πόρνην, τὸν Τελώνην καὶ τὸν Ληστὴν, καὶ τοῦ Φαρισαίου, τὴν ὑψηλοφροσύνην. Διὸ ἐν μετανοίᾳ, Κύριε σῶσόν με.

Ἕτερον. Ἦχος β΄.

Πρόσδεξαι Κύριε τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν, ὡς προσεδέξω Ἀβραὰμ τὴν θυσίαν, καὶ Πέτρου τὴν μετάνοιαν, τοῦ Τελώνου τὸν στεναγμὸν, καὶ τῆς Πόρνης τὰ δάκρυα, Μυροφόρων Γυναικῶν τὰ θυμιάματα, τοῦ Ληστοῦ τὴν ὁμολογίαν ἐπὶ τοῦ Σταυροῦ, καὶ ἐλέησον ἡμᾶς δεομένους σου Σωτήρ· Τῆς ὀργῆς σου τὴν ἀγανάκτησιν εἰς εἰρήνην μετάβαλε, καὶ σῶσον τὸν κόσμον σου, μόνε Φιλάνθρωπε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΦΩΤΑΓΩΓΙΚΑ

## ΚΑΤ' ΗΧΟΝ

## ΨΑΛΛΟΜΕΝΑ ΕΚ ΤΡΙΤΟΥ

### ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΣΣΑΡΑΚΟΣΤΗ.

Ἦχος α'.

Ὁ τὸ φῶς ἀνατέλλων, Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος β'.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον, Κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος γ'.

Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ, ὁ Θεὸς, καὶ φώτισον τὴν καρδίαν μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος δ'.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος πλ. α'.

Φωτοδότα Κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἦχος πλ. β'.

Προστασίαις Κύριε τῶν Ἀσωμάτων, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν φῶς σου τὸ ἀΐδιον.

Ἦχος βαρύς.

Προστασίαις Κύριε τῶν Ἀσωμάτων, φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος πλ. δ'.

Φῶς ὑπάρχων Χριστὲ, φώτισόν με ἐν σοὶ, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Εἰς δὲ τὴν συμπλήρωσιν ἑκάστου Φωταγωγικοῦ λέγομεν οὕτω.

Τῇ Δευτέρᾳ.

Προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Τῇ Τρίτῃ.

Πρεσβείαις Κύριε τοῦ Προδρόμου, καὶ σῶσόν με.

Τῇ Τετάρτῃ, καὶ Παρασκευῇ.

Δυνάμει Κύριε τοῦ Σταυροῦ σου, καὶ σῶσόν με.

Τῇ Πέμπτῃ.

Πρεσβείαις Κύριε τῶν Ἀποστόλων, καὶ σῶσόν με.

Τῷ Σαββάτῳ, λέγομεν αὐτὸ δίς.

Ἐν μὲν τῷ πρώτῳ.

Πρεσβείαις Κύριε τῶν Ἁγίων σου, καὶ σῶσόν με.

Ἐν δὲ τῷ δευτέρῳ.

Πρεσβείαις Κύριε τῆς Θεοτόκου, καὶ σῶσόν με.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

## ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ.

### ΤΗ ΔΕΥΤΕΡΑ.

Αὐτόμελον. Ἦχος Γ'.

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἀγγέλων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

### ΤΗ ΤΡΙΤΗ.

Ἦχος Γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸν Πρόδρομον Ἰωάννην, καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν Προφήταις Προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, (ὡς ἄνω).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΤΗ ΤΕΤΑΡΤΗ, ΚΑΙ ΠΑΡΑΣΚΕΥΗ.

### Ἦχος β'.

Σταυρὸς, ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρὸς, ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρὸς, Βασιλέων τὸ κραταίωμα· Σταυρὸς, πιστῶν τὸ στήριγμα· Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Σταυροθεοτοκίον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν τῷ Σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα, καὶ θρηνῳδοῦσα ἐβόα· Οἴμοι γλυκύτατον Τέκνον, πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου; πῶς ἐν νεκροῖς ἐλογίσθης;

## ΤΗ ΠΕΜΠΤΗ.

### Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Εἰς πᾶσαν τὴν ὑφήλιον, δραμόντες ἐκηρύξατε, τὴν τοῦ Χριστοῦ ἐκ Παρθένου, ἁγίαν σάρκωσιν ὄντως, ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες, καὶ πάντας ἐκδιδάσκοντες, Τριάδα σέβειν ἁγίαν, Ἀπόστολοι τοῦ Σωτῆρος.

Ὅμοιον.

Τὸν μέγαν Ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν· πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας· καὶ βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΤΩ ΣΑΒΒΑΤΩ.

### Ἦχος Γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τὲς ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον.

Ἡμεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε, καὶ πρὸς Θεόν σε ἔχομεν προστασίαν· ἔκτεινόν σου τὴν χεῖρα τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν· σοῖς ἐξαπόστειλον δούλοις, βοήθειαν ἐξ Ἁγίου.

# ΟΙ ΑΙΝΟΙ

## Κατὰ τὴν τάξιν αὐτῶν.

Εἰ μέν ἐστι Κυριακὴ ἢ Δεσποτικὴ Ἑορτὴ, ἢ Ἅγιος ἔχων μεγάλην Δοξολογίαν, ψάλλεται οὕτω τὸ, Πᾶσα πνοὴ, εἰς τὸν τυχόντα ἦχον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἰ δ᾽ ἄλλη ἡμέρα, οὕτως.

## ΨΑΛΜΟΣ ρμή. 148.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, καὶ πᾶσαι ἄβυσσοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοὶ, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, κα ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ρμθ'. 149.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ Βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺ ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. Δόξα αὕτη ἔσται τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ρν΄. 150.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εἰ δὲ ἐστι Κυριακὴ, λέγε καὶ τὰς ἐφεξῆς δύο Στίχους.

Στίχ. Α΄. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Στίχ. Β΄. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Δόξα, τὸ Ἑωθινόν· Καὶ νῦν, Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐκ τρίτου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεᾷ. Ἐγὼ εἶπα, Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐκ γ'. Δόξα, καὶ νῦν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Εἶτα γεγονωτέρα φωνῇ· Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Μετὰ τὴν Δοξολογίαν, Τὸ Ἀπολυτίκιον τὸ Ἀναστάσιμον, ἢ τοῦ Ἁγίου. Ἐκτενὴς, καὶ Ἀπόλυσις.

Εἰ δὲ ἐστι Τεσσαρακοστὴ, ἢ ἄλλη ἡμέρα, μὴ ἔχουσα Δοξολογίαν μεγάλην, μετὰ τὸ εἰς τοὺς Αἴνους, Δόξα, καὶ νῦν, λέγομεν οὕτω.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ, ἕως τοῦ, Καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εἶτα ὑπέρβηθι εἰς τὸ, Κύριε καταφυγὴ ἐγενήθης.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Εἶτα τὸ Καταξίωσον Κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ, μέχρι τέλους, καὶ ἡ Πρώτη Ὥρα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

# ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

## ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.

### Κοντάκιον, Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
Ὡς λυτρωθεὶς ἐκ τῶν δεινῶν εὐχαριστήρια,
Ἀναγράφω σοι ὁ δοῦλός σου Θεοτόκε.
Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

### ΟΙ ΟΙΚΟΙ.

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα.
Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει.
Χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.
Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.
Χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς.
Χαῖρε, βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.
Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα.
Χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.
Χαῖρε, Ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον.
Χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις.
Χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης,
Χαῖρε Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ Ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως· Τὸ παράδοξόν σου τῆς φωνῆς δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις; κράζων.

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα. Ἐκ λαγότων ἁγνῶν Υἱὸν πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι. Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω.

Χαῖρε, βουλῆς ἀπορρήτου μύστις.
Χαῖρε, σιγῆς δεομένων πίστις.
Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον.
Χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.
Χαῖρε, κλίμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός.
Χαῖρε, γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν.
Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλλητον θαῦμα.
Χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.
Χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα.
Χαῖρε, τὸ πῶς μηδένα διδάξασα.
Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν.
Χαῖρε, πιστῶν καταυγάζουσα φρένας.
Χαῖρε Νύμφη ἀνύμφευτε.

Δύναμις τȢ Ὑψίστου ἐπεσκίασε τότε πρὸς σύλληψιν τῇ Ἀπειρογάμῳ, καὶ τὴν εὔκαρπον ταύτης νηδύν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως· Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ· τὸ δὲ βρέφος ἐκείνης εὐθὺς, ἐπιγνοῦν τὸν ταύτης ἀσπασμόν, ἔχαιρε· καὶ ἅλμασιν, ὡς ᾄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα.
Χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.
Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον.
Χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.
Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν.
Χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.
Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις.
Χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα.
Χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.
Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία.
Χαῖρε, θνητῶν πρὸς Θεὸν παῤῥησία.
Χαῖρε Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰσραὴλ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε· μαθὼν δὲ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη·
Ἀλληλούϊα.

Ἤκουσαν οἱ Ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν· καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον, ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον·
Χαῖρε, ἀμνοῦ καὶ ποιμένος Μήτηρ.
Χαῖρε, αὐλὴ λογικῶν προβάτων.
Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον.
Χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.
Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ.
Χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.
Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα.
Χαῖρε, τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα.
Χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ ᾅδης.
Χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν, αὐτῷ βοῶντες.

Ἀλληλοῦϊα.

Ἴδον παῖδες Χαλδαίων ἐν χερσὶ τῆς Παρθένου τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους· καὶ Δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ Εὐλογημένῃ·

Χαῖρε, Ἀστέρος ἀδύτου Μήτηρ.
Χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.
Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα.
Χαῖρε, τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.
Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς.
Χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.
Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας.
Χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων.
Χαῖρε, πυρὸς προσκύνησιν παύσασα.
Χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.
Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης.
Χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμὸν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν·

Ἀλληλοῦϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της Σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν, πέπτωκεν· οἱ τούτων δὲ ῥυσθέντες ἐβόων πρὸς τὴν Θεοτόκον.
Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων.
Χαῖρε, κατάπτωσις τῶν δαιμόνων.
Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα.
Χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα.
Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν.
Χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας, τὴν ζωήν.
Χαῖρε, πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει.
Χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.
Χαῖρε, τροφὴ τοῦ Μάννα διάδοχε.
Χαῖρε, τρυφῆς ἁγίας διάκονε.
Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας.
Χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος· διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν, κράζων·

Ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις, ἐξ ἀσπόρου βλαστήσας γαστρὸς, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον· ἵνα, τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν, βοῶντες·
Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας.
Χαῖρε, τὸ στέγος τῆς ἐγκρατείας.
Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα.
Χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα.
Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί.
Χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί.
Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις.
Χαῖρε, ἀπογεννῶσα Λυτρωτὴν αἰχμαλώτοις.
Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, πολλῶν πταιόντων συγχώρησις.
Χαῖρε, στολὴ τῶν γυμνῶν παῤῥησίας.
Χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας·

Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ Θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε· καὶ τόκος ἐκ Παρθένου θεολήπτου, ἀκουούσης ταῦτα·
Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα.
Χαῖρε, σεπτοῦ μυστηρίου θύρα.
Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα.
Χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα.
Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ.
Χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ.
Χαῖρε, ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα.
Χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα.
Χαῖρε, δι' ἧς ἐλύθη παράβασις.
Χαῖρε, δι' ἧς ἠνοίχθη Παράδεισος.
Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας.
Χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τό,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πῶς καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ Μυστήριον θαυμάζοντες, πιςῶς βοῶμεν·
Χαῖρε, σοφίας Θεοῦ δοχεῖον.
Χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.
Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα.
Χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα.
Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί.
Χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί.
Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα.
Χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα.
Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα.
Χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.
Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι.
Χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.
Χαῖρε Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων Κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε· καὶ ποιμὴν ὑπάρχων ὡς Θεὸς, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει.
Ἀλληλούϊα.

Τεῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατεσκεύασέ σε Ποιητὴς, Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας·
Χαῖρε, ἡ στήλη τῆς παρθενίας.
Χαῖρε, ἡ πύλη τῆς σωτηρίας.
Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως.
Χαῖρε, χορηγὲ Θεϊκῆς ἀγαθότητος.
Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς.
Χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.
Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα.

Χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα.
Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως.
Χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.
Χαῖρε, καλὴ κουροτρόφε παρθένων.
Χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς ἂν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν· Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν Θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα·

Χαῖρε, ἀκτὶς νοητοῦ Ἡλίου.
Χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.
Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα.
Χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.
Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν.
Χαῖρε, ὅτι τὸν πολύῤῥυτον ἀναβλύζεις ποταμόν.
Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον.
Χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.
Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν.
Χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.
Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας.
Χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας ὀφλημάτων ἀρχαίων ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψάλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες ὡς ἔμψυχον ναὸν, Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας·

Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου.
Χαῖρε, Ἁγία Ἁγίων μείζων.
Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι.
Χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.
Χαῖρε, τίμιον διάδημα Βασιλέων εὐσεβῶν.
Χαῖρε, καύχημα σεβάσμιον Ἱερέων εὐλαβῶν.
Χαῖρε, τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος.
Χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος.
Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια.
Χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι.
Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία.
Χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφορὰν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς συμβοῶντας·

Ἀλληλοΐα.

Διὸ καὶ ἡμεῖς αὐτὴν τὴν παναγίαν, καὶ ὁμοούσιον, καὶ ζωοποιὸν, καὶ ἀμέριστον Τριάδα, τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ πανάγιον Πνεῦμα, τὴν μίαν ἐν Τριάδι ἀνερμήνευτον Θεότητα, λατρευτικῶς ἀνυμνοῦντες, εὐσεβῶς προσκυνοῦμεν. Σὲ τὴν πανάχραντον, πανακήρατον, πανάσπιλον, πανάφθορον, πανύμνητον, παντάνασσαν τῆς κτίσεως, τὴν Θεοτόκον Μαρίαν, Μητέρα καὶ Παρθένον ἀληθῶς κηρύττομεν· ὡς μεσίτριαν δὲ τοῦ παντὸς κόσμου σὲ πιστῶς δοξάζομεν, καὶ μετὰ τοῦ Γαβριὴλ σοι κραυγάζομεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα τῶν ψυχῶν ἡμῶν ἔτεκες· διό σε ἀκαταπαύστως τιμῶντες, ἐν ὕμνοις μεγαλύνομεν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΥΜΝΟΣ

## ΠΡΟΣ ΤΗΝ ΜΑΚΑΡΙΩΤΑΤΗΝ ΠΑΡΘΕΝΟΝ.

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε Ναὲ, καὶ Παράδεισε λογικὲ, παρθενικὸν καύχημα· ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΖΑΧΑΡΙΟΥ ΙΕΡΕΩΣ

## ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

### ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ,

### ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΝ

# ΜΑΡΙΑΝ

Ζωὴν ἰδοῦσα
Α᾽σωμάτων τε
Χορεί᾽ ἐπλάγη
Α᾽νθήσασάν γε
Ρ῾υσαμένην σὲ
Ι῎νιν πέλοντα
Α῎χραντε εὐκοῦν
Σώσουσα δὴ ἴθι
Κυρίαν ξενοτρόπως
Ρ῾άβδον ὡς ἅπασα
Η῞σε χαρᾷ καὶ φόβῳ
Σῷ τόκῳ ὦ Μαριὰμ
Υ῾π᾽ ἀρᾶς πάντ᾽ ἔθνεα
Δοῦλα Σατὰν πρὶν κέαρ
Ε᾽λπὶς οὖσα ἰθῦναι
Ι῾κέτην σὸν Κυρία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΑΡΑΦΡΑΣΙΣ

# ΛΕΟΝΤΙΟΥ ΜΟΝΑΧΟΥ

Ω᾿ Μαριὰμ Θεοτόκε, ἅπασα ἡ χορεία τῶν Ἀσωμάτων, ἰδοῦσα σὲ τὴν ῥάβδον τὴν ἀνθήσασαν ξενοτρόπως τὴν κυρίαν ζωὴν, ἤγουν τὸν Χριστὸν (κατὰ τὸ, Ἐγώ εἰμι ἡ ὁδὸς, ἡ ἀλήθεια, καὶ ζωὴ ἐνυπόστατος) λίαν ἐπλάγη ὑπὸ τοῦ φόβου, καὶ ὑπὸ τῆς χαρᾶς ᾖσε τῷ σῷ τόκῳ, ἤγουν τῷ σῷ Υἱῷ ὕμνει, καὶ ἔψαλλεν ὡς ἐν τῷ σπηλαίῳ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ. Σέ, φημι, τὴν Μαριὰμ τὴν ῥυσαμένην πάντα τὰ ἔθνη ἀπὸ τῆς ἀρχαίας ἀρᾶς, τὰ ὑπάρχοντα πρότερον δεδουλωμένα κατὰ τὴν ψυχὴν ὑπὸ τῆς δυνάμεως τοῦ Σατὰν καὶ δολίου δράκοντος· τὸ λοιπὸν, ὦ Ἄχραντε Κυρία Παρθένε, ἤγουν κυρίως, σὺ ἡ ὑπάρχουσα ἐλπὶς πάντων τῶν Χριστιανῶν, ἐλθὲ σώσουσα τόν δε, δηλονότι τὸν στιχουργήσαντα τοὺς ἰάμβους, καὶ ἴθυνον αὐτὸν τὸν σὸν ἱκέτην Ζαχαρίαν τὸν Ἱερέα εἰς εὐθείας ὁδούς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ

## ΕΙΣ ΤΗΝ ΝΟΗΤΗΝ ΚΛΙΜΑΚΑ,

## ΤΟΝ ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ

## ΤΟΥ ΣΩΤΗΡΟΣ ΗΜΩΝ

# ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Κοντάκιον, Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὢ τρισμακάριστε Σταυρὲ καὶ πανσεβάσμιε, σὲ προσκυνοῦμεν οἱ πιστοὶ καὶ μεγαλύνομεν, ἀγαλλόμενοι τῇ θείᾳ σου ἀνυψώσει. Ἀλλ' ὡς τρόπαιον καὶ ὅπλον ἀπροσμάχητον, περιφρούρει τε καὶ σκέπε τῇ σῇ χάριτι, τοὺς σοὶ κράζοντας· Χαῖρε Ξύλον μακάριον.

### ΟΙ ΟΙΚΟΙ.

Ἄγγελοι οὐρανόθεν ἀοράτως κυκλοῦσι Σταυρὸν τὸν ζωηφόρον ἐν φόβῳ· καὶ φωτοπάροχον χάριν λαμπρῶς παρεχόμενον νῦν τοῖς πιστοῖς βλέποντες, ἐξίστανται, καὶ ἵστανται βοῶντες πρὸς αὐτὸν τοιαῦτα·

Χαῖρε, Σταυρὲ οἰκουμένης φύλαξ,
Χαῖρε, ἡ δόξα τῆς Ἐκκλησίας.
Χαῖρε, ὁ πηγάζων ἀφθόνως ἰάματα,
Χαῖρε, ὁ φωτίζων τοῦ κόσμου τὰ πέρατα.
Χαῖρε, Ξύλον ζωομύριστον, καὶ θαυμάτων θησαυρὲ,
Χαῖρε, συνθετοτρισόλβιε, καὶ χαρίτων παροχεῦ.
Χαῖρε, ὅτι ὑπάρχεις ὑποπόδιον θεῖον,
Χαῖρε, ὅτι ἐτέθης εἰς προσκύνησιν πάντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, κρατὴρ τοῦ νέκταρος ἔμπλεως.
Χαῖρε, λαμπτὴρ τῆς ἄνω λαμπρότητος.
Χαῖρε, δἰ οὗ εὐλογεῖται ἡ κτίσις,
Χαῖρε, δἰ οὗ προσκυνεῖται ὁ Κτίστης.
Χαῖρε Ξύλον μακάριον.

Βλέπουσα ἡ Ἑλένη ἑαυτὴν ἐν ἐφέσει, φησὶ τῷ Βασιλεῖ θαρσαλέως· Τὸ παμπόθητόν σου τῆς ψυχῆς εὐχερέστατόν μου τῇ σπουδῇ φαίνεται· ζητοῦσα γοῦν τὸ κράτιστόν σοι τρόπαιον, ὡς λέγεις, κράζω·
Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον πρώην ἡ Βασίλισσα γνοῦσα, ἐβόησε πρὸς τοὺς ὑπουργοῦντας· Ἐκ λαγόνων τῆς γῆς εὑρεῖν ἐν τάχει, καὶ δοῦναι τὸν Σταυρὸν σπεύσατε· πρὸς ὃν ἰδοῦσα ἔφησεν ἐν φόβῳ, πλὴν κράζουσα οὕτω·
Χαῖρε, χαρᾶς τῆς ὄντως σημεῖον,
Χαῖρε, ἀρᾶς τῆς ἀρχαίας λύτρον.
Χαῖρε, θησαυρὸς ἐν τῇ γῇ φθόνῳ κρυπτόμενος,
Χαῖρε, ὁ φανεὶς ἐν τοῖς ἄστροις τυπούμενος.
Χαῖρε, τετρακτινοπύρσευτε καὶ πυρίμορφε Σταυρέ,
Χαῖρε, κλίμαξ ὑψοστήρικτε, προορᾶθεῖσα ποτέ.
Χαῖρε, τὸ τῶν Ἀγγέλων γαληνόμορφον θαῦμα,
Χαῖρε, τὸ τῶν δαιμόνων πολυστένακτον τραῦμα.
Χαῖρε, τερπνὸν τοῦ Λόγου κειμήλιον.
Χαῖρε, πυρὸς τῆς πλάνης σβεστήριον.
Χαῖρε, Σταυρὲ ἀπορούντων προστάτα,
Χαῖρε, στεῤῥὲ εὐδρομούντων ἀλεῖπτα.
Χαῖρε Ξύλον μακάριον.

Δύναμις ἡ τοῦ Ξύλου ἐπιδέδεικται τότε πρὸς πίστωσιν ἀληθῆ τοῖς πᾶσι· καὶ τὴν ἄφωνόν τε καὶ νεκρὰν πρὸς ζωὴν ἀνέστησε, φρικτὸν θέαμα τοῖς μέλλουσι καρποῦσθαι σωτηρίαν, ἐν τῷ μέλπειν οὕτως·
Ἀλληλούϊα.

Ἔχουσα ἡ Ἑλένη τὸ ἀήττητον ὅπλον, ἀνέδραμε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τὸν ταύτης γόνον· ὁ δὲ, μέγα σκιρτήσας εὐθὺς, ἐπιγνοὺς τὸν μέγιστον Σταυρὸν, ἔχαιρε, καὶ ἄλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς αὐτὸν τοιαῦτα·

Χαῖρε, Σταυρὲ, τοῦ φωτὸς δοχεῖον,
Χαῖρε, Σταυρὲ, τῆς ζωῆς ταμεῖον.
Χαῖρε, ὁ δοτὴρ χαρισμάτων τοῦ Πνεύματος,
Χαῖρε, ὁ λιμὴν ποντοπόρων ἀχείμαστος.
Χαῖρε, τράπεζα βαστάζουσα ὥσπερ θῦμα τὸν Χριστὸν,
Χαῖρε, κλῆμα, βότρυν πέπειρον φέρον οἶνον μυστικόν.
Χαῖρε, ὅτι τὰ σκῆπτρα τῶν ἀνάκτων φυλάττεις,
Χαῖρε, ὅτι τὰς κάρας τῶν δρακόντων συνθλάττεις.
Χαῖρε, λαμπρὸν τῆς πίστεως γνώρισμα,
Χαῖρε, παντὸς τοῦ κόσμου διάσωσμα.
Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐλογία,
Χαῖρε, θνητῶν πρὸς Θεὸν μεσιτεία.
Χαῖρε Ξύλον μακάριον.

Ζῆλον ἔνδοθεν θεῖον ἡ Ἑλένη λαβοῦσα, ἐζήτησε καὶ εὗρε σπουδαίως τὸν ἐν γῇ κρυπτόμενον Σταυρὸν, καὶ δεικνύμενον ἐν οὐρανῷ Ἄνακτι· ὃν ὕψωσε· καὶ βλέπον τὸ πολίτευμα, ἐν πίστει ἔφη· Ἀλληλούϊα.

Ἡλιόμορφος ὤφθη ὁ Σταυρὸς ἐν τῷ κόσμῳ, καὶ πάντες φωτισμοῦ ἐμπλησθέντες, καὶ δραμόντες ὡς πρὸς ἀστέρα, θεωροῦσι τοῦτον ὡς καλῶν αἴτιον, ἐν ταῖς χερσὶ ταῖς θείαις ὑψωθέντα· ὃν ὑμνοῦντες εἶπον·

Χαῖρε, αὐγὴ νοητοῦ Ἡλίου,
Χαῖρε, πηγὴ ἀκενώτου μύρου.
Χαῖρε, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἀνάκλησις,
Χαῖρε, τῶν ἀρχόντων τοῦ ᾅδου ἡ νέκρωσις.
Χαῖρε, ὅτι ἀνυψούμενος, συνανυψοῖς νῦν ἡμᾶς,
Χαῖρε, ὅτι προσκυνούμενος, καθαγιάζεις τὰς ψυχάς.
Χαῖρε, τῶν Ἀποστόλων κοσμοκήρυκτον κλέος.
Χαῖρε, τῶν ἀθλοφόρων εὐμενέστατον σθένος.
Χαῖρε, Σταυρὲ, Ἑβραίων ὁ ἔλεγχος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, πιστῶν ἀνθρώπων ὁ ἔπαινος.
Χαῖρε, δἰ οὗ κατεβλήθη ὁ ᾅδης,
Χαῖρε, δἰ οὗ ἀνατέταλκε χάρις.

Χαῖρε Ξύλον μακάριον.

Θεοβράβευτον Ξύλον θεωρήσαντες πάντες, τῇ τούτου νῦν προσέλθωμεν σκέπῃ· καὶ ὡς ὅπλον κρατοῦντες αὐτὸ, δἰ αὐτοῦ τροποῦμεν τῶν ἐχθρῶν φάλαγγας· καὶ ψαύοντες τὸν ἄψαυστον, τοῖς χείλεσιν αὐτῷ βοῶμεν· Ἀλληλούϊα.

Ἴδε φῶς οὐρανόθεν Κωνσταντῖνος ὁ μέγας, δεικνύμενον Σταυροῦ τὸ σημεῖον δἰ ἀστέρων, ἐν ᾧ καὶ νικᾷν πολεμίων πληθὺν, ἔσπευσε τὸ Ξύλον φανερῶσαι, καὶ βοῆσαι πρὸς αὐτὸ τοιαῦτα·
Χαῖρε, βουλῆς τῆς ἀῤῥήτου πέρας,
Χαῖρε, λαοῦ εὐσεβοῦντος κέρας.
Χαῖρε, πολεμίων ὁ τρέπων τὰς φάλαγγας,
Χαῖρε, φλὸξ καθάπερ ὁ φλέγων τοὺς δαίμονας.
Χαῖρε, σκῆπτρον ἐπουράνιον τοῦ Βασιλέως τοῦ πιστοῦ,
Χαῖρε, τρόπαιον ἀήττητον τοῦ φιλοχρίστου σταυροῦ.
Χαῖρε, ὁ τῶν βαρβάρων τὴν ὀφρὺν καταβάλλων.
Χαῖρε, ὁ τῶν ἀνθρώπων τὰς ψυχὰς περιέπων.
Χαῖρε, κακῶν πολλῶν ἀμυντήριον.
Χαῖρε, καλῶν πολλῶν βραβευτήριον.
Χαῖρε, δἰ οὗ χριστοφόροι σκιρτῶσι.
Χαῖρε, δἰ οὗ Ἰουδαῖοι θρηνοῦσι.

Χαῖρε Ξύλον μακάριον.

Κλίμαξ οὐρανομήκης ὁ Σταυρὸς τοῦ Κυρίου ἐγένετο, τοὺς πάντας ἀνάγων ἀπὸ γῆς πρὸς ὕψος οὐρανοῦ, τοῖς χοροῖς Ἀγγέλων συνοικεῖν πάντοτε, ἀφέντας τὰ νῦν ὄντα ὡς μὴ ὄντα, καὶ εἰδότας ψάλλειν·

Ἀλληλούϊα.

Λάμψας φῶς ἐπὶ πᾶσιν ὁ Σωτὴρ τοῖς ἐν ᾅδῃ, ἐφώτισας τοὺς κάτω κειμένους· πυλωροὶ δὲ ᾅδου τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐγὴν μὴ ἐνέγκαντές σου, ὡς νεκροὶ πεπτώκασιν· οἱ τέτων δὲ ῥυσθέντες, νῦν ὁρῶντες τὸν Σταυρὸν, βοῶσι·
Χαῖρε, ἀνάστασις τεθνεώτων,
Χαῖρε, παράκλησις τῶν πενθούντων.
Χαῖρε, τῶν ταμείων τοῦ ᾅδου ἡ κένωσις,
Χαῖρε, Παραδείσου τρυφῆς ἡ ἀπόλαυσις.
Χαῖρε, ῥάβδος ἡ ποντίσασα τὸν Αἰγύπτιον στρατὸν,
Χαῖρε, αὖθις ἡ ποτίσασα Ἰσραηλίτην λαόν.
Χαῖρε, ἔμψυχον Ξύλον, τοῦ Ληστοῦ σωτηρία,
Χαῖρε, εὔοσμον ῥόδον, εὐσεβῶν εὐωδία.
Χαῖρε, τροφὴ πεινώντων ἐν πνεύματι,
Χαῖρε, σφραγὶς, ἣν ἔλαβον ἄνθρωποι.
Χαῖρε, Σταυρὲ, μυστηρίων ἡ θύρα,
Χαῖρε, ἐξ οὗ ῥεῖθρα χέονται θεῖα.
Χαῖρε Ξύλον μακάριον.

Μέλλοντος Μωϋσέως τὸ πολύμοχθον γένος λυτρώσασθαι ἐκ τοῦ λυμεῶνος, ἐπεδόθης ὡς ῥάβδος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεοῦ σύμβολον· διό περ κατεπλάγη σου, Σταυρὲ, τὴν δυναστείαν κράζων·
Ἀλληλούϊα.

Νόμον ὁ ἐν Σιναίῳ τῷ Θεόπτῃ δοὺς πάλαι, Σταυρῷ ἐθελοντὶ προσηλοῦται, ὑπὲρ ἀνόμων ἀνόμως ἀνδρῶν, καὶ κατάραν νόμου παλαιὰν ἔλυσεν, ἵνα Σταυροῦ τὴν δύναμιν ὁρῶντες ἅπαντες νῦν βοῶμεν·
Χαῖρε, ἀνόρθωσις πεπτωκότων,
Χαῖρε, κατάπτωσις κοσμολάτρων.
Χαῖρε, ἀναστάσεως Χριστοῦ τὸ ἐγκαίνισμα,
Χαῖρε, μοναζόντων τὸ θεῖον ἐντρύφημα.
Χαῖρε, δένδρον εὐσκιόφυλλον, ὑφ' ὃ σκέπονται πιστοί,
Χαῖρε, Ξύλον προφητόφθεγκτον, πεφυτευμένον ἐν γῇ.
Χαῖρε, τῆς βασιλείας κατ' ἐχθρῶν συμμαχία,
Χαῖρε, τῆς πολιτείας κραταιὰ προστασία.
Χαῖρε, Κριτοῦ δικαίου φανέρωσις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, βροτῶν πταιόντων κατάκρισις.
Χαῖρε, Σταυρὲ, ὀρφανῶν ἀντιλήπτωρ,
Χαῖρε, Σταυρὲ, πλουτιστὰ τῶν πενήτων.
Χαῖρε Ξύλον μακάριον.

Ξένου θαῦμα ἰδόντες, ξένον βίον βιῶμεν, τὸν νοῦν εἰς οὐρανὸν ἀνυψοῦντες· διὰ τοῦτο γὰρ ἐν τῷ Σταυρῷ ὁ Χριστὸς ἐπάγη, καὶ σαρκὶ πέπονθε, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας·
Ἀλληλούϊα.

Ὅλος ἦλθεν ἐξ ὕψους, τὴν Θεότητα ἔχων, ὁ μόνος προαιώνιος Λόγος· καὶ τεχθεὶς ἐκ Παρθένου Μητρὸς, καὶ φανεὶς τῷ κόσμῳ ταπεινὸς ἄνθρωπος, Σταυρὸν καταδεξάμενος, ἐζώωσε τοὺς αὐτῷ βοῶντας·
Χαῖρε, Σταυρὲ τῆς εἰρήνης ὅπλον,
Χαῖρε, βαλβὶς τῶν ὁδοιπορούντων.
Χαῖρε, σωζομένων σοφία καὶ στήριγμα.
Χαῖρε, ἀπολλυμένων μωρία καὶ σύντριμμα.
Χαῖρε, εὔκαρπον, ἀθάνατον, καὶ ζωηφόρον φυτὸν,
Χαῖρε, ἄνθος, ὅπερ ἤνθησε τὴν σωτηρίαν ἡμῶν.
Χαῖρε, ὅτι συνάπτεις τὰ ἐν γῇ σὺν τοῖς ἄνω,
Χαῖρε, ὅτι φωτίζεις τὰς καρδίας τῶν κάτω.
Χαῖρε, δι᾽ οὗ φθορὰ ἐξωστράκισται,
Χαῖρε, δι᾽ οὗ ἡ λύπη ἠφάνισται.
Χαῖρε, καλῶν μυριάριθμος ὄλβος,
Χαῖρε, πιστῶν μυριώνυμον εὖχος.
Χαῖρε Ξύλον μακάριον.

Πέπτωκε τῶν δαιμόνων ἡ παμβέβηλος φάλαγξ, καὶ γένος τῶν Ἑβραίων ᾐσχύνθη, προσκυνούμενον τὸν Σταυρὸν παρὰ πάντων μετὰ πόθου βλέποντες, ἀεὶ δὲ ἀναβλύζοντα ἰάματα τοῖς ἐκβοῶσιν·
Ἀλληλούϊα.

Ῥεύματα συνεστάλη λογισμῶν κακοδόξων, παγέντος σου Χριστὲ ἐπὶ ξύλου· ἀποροῦσι γὰρ ὄντως τὸ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πῶς καὶ Σταυρὸν ὑπέστης, καὶ φθορὰν πέφευγας· ἡμεῖς δὲ τὴν Ἀνάστασιν δοξάζοντες, ἀναβοῶμεν·
Χαῖρε, σοφίας Θεοῦ τὸ ὕψος,
Χαῖρε, προνοίας αὐτοῦ τὸ βάθος.
Χαῖρε, μορωλόγων ἀλόγων ἡ ἄγνοια,
Χαῖρε, μαντιπόλων ἀφρόνων ἀπώλεια.
Χαῖρε, ὅτι τὴν Ἀνάστασιν ἐμφανίζεις τȣ̃ Χριστοῦ,
Χαῖρε, ὅτι τὰ παθήματα ἀνακαινίζεις αὐτοῦ.
Χαῖρε, τῶν πρωτοπλάστων τὴν παράβασιν λύσας,
Χαῖρε, τοῦ Παραδείσου τὰς εἰσόδους ἀνοίξας.
Χαῖρε, Σταυρὲ τοῖς πᾶσι σεβάσμιε,
Χαῖρε, ἐθνῶν ἀπίστων ἀντίπαλε.
Χαῖρε, Σταυρὲ, ἰατρὲ τῶν νοσούντων,
Χαῖρε, ἀεὶ βοηθὲ τῶν βοώντων·

Χαῖρε Ξύλον μακάριον.

Σῶσαι θέλων τὸν κόσμον ὁ τȣ̃ κόσμου κοσμήτωρ, κατῆλθε πρὸς αὐτὸν ἀποῤῥήτως· καὶ Σταυρὸν ὑπέστη Θεὸς ὢν, δἰ ἡμᾶς τὰ πάντα καθ' ἡμᾶς δέχεται· διὸ καὶ λυτρωσάμενος ἡμᾶς, ἀκούει παρὰ πάντων·

Ἀλληλȣ̈ϊα.

Τεῖχος τῆς οἰκουμένης, ὦ Σταυρὲ ζωηφόρε, ἀπόρθητον καὶ θεῖον νοοῦμεν· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατασκευάσας σε Ποιητὴς, τάννυσι τὰς χεῖρας ξένον ἄκουσμα! καὶ ἅπαντας ἐκφωνεῖν διδάσκει·
Χαῖρε, ἡ βάσις τῆς εὐσεβείας,
Χαῖρε, τὸ νῖκος τῆς κληρουχίας.
Χαῖρε, Ἀμαλὴκ νοητὸν ὁ τροπούμενος,
Χαῖρε, Ἰακὼβ ταῖς χερσὶ προτυπούμενος.
Χαῖρε, σὺ γὰρ ἀνεμόρφωσας τὰς παλαιτάτας σκιὰς,
Χαῖρε, σὺ γὰρ ἀνεπλήρωσας προφητοφθέγκτȣς φωνάς.
Χαῖρε, ὁ τὸν Σωτῆρα τῶν ἁπάντων βαστάσας,
Χαῖρε, ὁ τὸν φθορέα τῶν ψυχῶν καταργήσας.
Χαῖρε, δἰ οὗ Ἀγγέλοις ἡνώθημεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χαῖρε, δι' οὗ φωτὶ κατηυγάσθημεν.
Χαῖρε· σὲ γὰρ προσκυνοῦμεν τιμῶντες.
Χαῖρε· σοὶ γὰρ προσφωνοῦμεν βοῶντες·
Χαῖρε Ξύλον μακάριον.

Ὕμνος ἅπας μειοῦται, συνακολουθεῖν θέλων τῷ πλήθει τῶν πολλῶν σου θαυμάτων· ἐγκωμίων πληθὺν καὶ γὰρ ἂν προσάξωμέν σοι, ὦ Σταυρὲ τίμιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν· ἀλλ' οὖν βοῶμεν·
Ἀλληλούϊα.

Φωτοπάροχον αἴγλην τοῖς ἐν σκότει δωρεῖται Σταυρὸς ὁ ζωοδώρητος οὗτος· τὸ γὰρ ἄϋλον δέδεκται φῶς, καὶ πρὸς γνῶσιν θείαν δαδουχεῖ ἅπαντας· ὑψοῖ δὲ νῦν ὑψούμενος τὸν νοῦν ἡμῶν, ἀναμέλπειν ταῦτα·
Χαῖρε, φωστὴρ τοῖς ἐν σκότει φαίνων.
Χαῖρε, ἀστὴρ τὸν κόσμον αὐγάζων.
Χαῖρε, ἀστραπὴ χριστοκτόνους ἀμβλύνουσα.
Χαῖρε, ἡ βροντὴ τοὺς ἀπίστους ἐκπλήττουσα.
Χαῖρε, ὅτι κατελάμπρυνας ὀρθοδόξων τοὺς χορούς.
Χαῖρε, ὅτι κατηδάφισας τῶν εἰδώλων τοὺς βωμούς.
Χαῖρε, οὗπερ ὁ τύπος οὐρανόθεν ἐφάνη.
Χαῖρε, οὗπερ ἡ χάρις πονηρίας ἐλαύνει.
Χαῖρε, σαρκὸς σημαίνων τὴν νέκρωσιν.
Χαῖρε, παθῶν ὁ κτείνων ἐπέγερσιν.
Χαῖρε, ἐν ᾧ Χριστὸς ἐσταυρώθη.
Χαῖρε, δι' οὗ ἅπας κόσμος ἐσώθη.
Χαῖρε Ξύλον μακάριον.

Χάριν δοῦναι θελήσας ὁ Χριστὸς τοῖς ἀνθρώποις, τὰς χεῖρας ἐπὶ ξύλου ἐκτείνει, καὶ τὰ ἔθνη πάντα συγκαλεῖ, καὶ βασιλείαν πᾶσιν οὐρανῶν δίδωσι, τοῖς μέλπουσι τὸν ὕμνον ἐπαξίως, καὶ πιστῶς βοῶσιν.
Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν ὕμνον, εὐφημοῦμεν ἐκ πόθου, ὡς ἔμψυχον Κυρίου σε Ξύλον· ἐπὶ σοὶ γὰρ παγεὶς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν σαρκὶ ὁ δεσπόζων τῶν ἄνω Δυνάμεων, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾷν σοι ταῦτα·
Χαῖρε, Σταυρὲ, νοητὴ ῥομφαία.
Χαῖρε, Ἁγίων ἅγιον βλέμμα.
Χαῖρε, Προφητῶν καὶ Δικαίων προκήρυγμα.
Χαῖρε, τοῦ Χριστοῦ λαμπροφόρον στρατήγημα.
Χαῖρε, κάλλος καὶ διάδημα Βασιλέων εὐσεβῶν.
Χαῖρε, κράτος καὶ ὀχύρωμα Ἱερέων εὐλαβῶν.
Χαῖρε, τῆς ἀληθείας εὐκλεέστατος κόσμος.
Χαῖρε, τῆς σωτηρίας εὐτυχέστατος ὅρμος.
Χαῖρε, φαιδρὸν ἁπάντων ἀγλάϊσμα.
Χαῖρε, υἱῶν τῆς Ἄγαρ φυγάδευμα.
Χαῖρε, φωτὸς ἀκηράτου λυχνία.
Χαῖρε, ψυχῆς τῆς ἐμῆς θυμηδία.

Χαῖρε Ξύλον μακάριον.

Ὦ πανύμνητον Ξύλον, τὸ βαστάσαν τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον, δεδεγμένον ἡμῶν τὰς λιτὰς, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ αἰωνίου λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας·

Ἀλληλούϊα.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΑΡΑΡΤΗΜΑ

## ΑΝΤΙΓΡΑΦΟΝ
## ΕΚ ΤΟΥ ΙΛΑΥΡΙΚΟΥ ΩΡΟΛΟΓΙΟΥ
### ΠΕΡΙ ΤΟΥ ΤΥΠΟΥ ΚΑΙ ΤΗΣ ΣΦΡΑΓΙΔΟΣ
### ΤΟΥ ΤΙΜΙΟΥ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ

Παράδοσις ἀρχαιοτάτη καὶ ἀψευδὴς τῶν ἁγίων Ἀποστόλων καὶ ἱερῶν Πατέρων περὶ τοῦ, Πῶς πρέπει ὁ εὐσεβὴς Χριςιανὸς καὶ Ὀρθόδοξος νὰ σφραγίζῃ τὸ σημεῖον τȣ̃ τιμίου καὶ ζωοποιȣ̃ Σταυρȣ̃ εἰς τὸ ἑαυτȣ̃ πρόσωπον διὰ τῶν δακτύλων τῆς ἑαυτοῦ χειρός· καὶ τίνας δακτύλους χρεωστεῖ νὰ ἑνώσῃ, καὶ τί ἄρα δηλȣ̃σιν οἱ αὐτοὶ δάκτυλοι.



Πρῶτον μὲν ȣ̃ν πρέπει ὁ εὐσεβὴς καὶ Ὀρθόδοξος Χριστιανὸς νὰ ἑνώσῃ τοὺς πρώτους τρεῖς δακτύλους τῆς δεξιᾶς αὐτοῦ χειρὸς, διὰ νὰ χαρακτηρίσῃ τὴν παναγίαν Τριάδα, τουτέστι τὸν πρῶτον δάκτυλον καὶ τοὺς λοιποὺς δύο, ὁποῦ εἶναι σιμὰ εἰς αὐτὸν, διὰ τῶν ὁποίων παρεμφαίνομεν καὶ φανερώνομεν καὶ τὴν ἰσότητα, καὶ τὴν ἕνωσιν, ὁμοῦ καὶ τὸ ἀχώριστον τῆς αὐτῆς ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος, ἀντιτασσόμενοι καὶ ἀντιμάχοντες τοῖς Αἱρετικοῖς τῶν Ἀρμενίων, οἵτινες κακῶς καὶ ἀμαθῶς δογματίζουσι διαφορὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀνομοιότητα εἰς τὴν αὐτὴν ὑπέρθεον καὶ προσκυνητὴν ἁγίαν Τριάδα, καὶ διὰ τοῦτο σχεδιάζουσιν εἰς τὸ πρόσωπον αὐτῶν τὸν τύπον καὶ τὸ σημεῖον τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἑνοῦντες τὸν πρῶτον δάκτυλον μετὰ τῶν λοιπῶν τεσσάρων δακτύλων, ὁποῦ γένονται ὅλοι ὁμοῦ πέντε, διὰ νὰ ἐνδείξωσι διὰ τῶν πέντε τούτων ἀνομοίων δακτύλων τὸ διάφορον τῶν τριῶν Θείων Ὑποστάσεων. Ὅθεν ὡς κακοδόξȣς αὐτοὺς ἀποβάλλομεν, οὔτε μὴν ὁμοφωνοῦμεν αὐτοῖς τὸ σύνολον ἡμεῖς οἱ Ὀρθόδοξοι, ἀλλ' ἀπέχομεν μακρὰν ἀπὸ τῶν τοιούτων, οἵ τινες ἀκολουθοῦσι τὴν παράφρονα καὶ ψυχόλεθρον αὐτῶν γνώμην. Ἀποφεύγοντες δὲ καὶ τὸ βάραθρον τῆς Ἀρειανικῆς ἀθεΐας, πιστεύομεν καὶ ὁμολογοῦμεν τὴν ἕνωσιν τῆς ὑπάρξεως καὶ οὐσίας τῆς αὐτῆς παναγίας καὶ ὁμοȣσίου Τριάδος, καὶ διὰ τῆς διαιρέσεως τῶν δακτύλων παρεμφαίνοντες καὶ φανερώνοντες τὴν διαφορὰν τῶν τριῶν Θείων Ὑποστάσεων, ἀποβάλλομεν καὶ ἀποῤῥίπτομεν τὴν ματαιόφρονα καὶ ληρώδη γνώμην τοῦ Σαβελλίου. Ἐπειδὴ οὐ λέγομεν, ἀλλ' οὐδὲ πάλιν εἰς ἓν συνάπτομεν καὶ τοὺς τρεῖς δακτύλους, ἀλλ' ἐμάθομεν διακρίνειν αὐτοὺς καὶ διαχωρίζειν εὐτάκτως τε καὶ ὀρθῶς, τουτέστι τὸν πρῶτον δάκτυλον, τὸν λιχανὸν, δηλαδὴ τὸν δεύτερον, καὶ τὸν μέσον. Βάλλοντες τοὺς αὐτοὺς τρεῖς δακτύλους πρῶτον μὲν εἰς τὸ μέτωπον ἡμῶν, καὶ ἐγγίζοντες τὸ μέτωπον, χαρακτηρίζομεν τὸ ἀνώτερον κέρας τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· δεύτερον δὲ ἐγγίζομεν τὴν κοιλίαν ἡμῶν, καὶ διὰ τοῦ τοιούτου σχήματος εἰκονίζομεν τὸ κατώτερον κέρας τοῦ Σταυροῦ· καὶ τρίτον πάλιν φέρομεν τούτους εἰς τὸν δεξιὸν ὦμον, καὶ ἐκ τούτου εἰς τὸν ἀριστερόν· καὶ οὕτως οἱ δύο μέσοι δάκτυλοι ἑνώνουσι τὰ ἄκρα τοῦ τιμίου Σταυροῦ, ἐφ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὗ ἐσταυρώθη δι' ἡμᾶς τοὺς ἀνθρώπους ὁ Ἅγιος τῶν Ἁγίων, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ προανάρχου Πατρὸς, ἐφαπλῶν τὰς ἀχράντους αὐτοῦ χεῖρας, καὶ εἰς ἓν ἐπισυνάγων τὰ πρώην διεσκορπισμένα ἔθνη· καὶ διὰ τοῦ τύπου τῶν τριῶν τούτων ἑνουμένων δακτύλων, ὡς εἴπομεν ἄνωθεν, τιμᾶται πάντως καὶ παρ' ἡμῶν δοξάζεται, διὰ τὴν αὐτοῦ δύναμιν, ὁ τίμιος καὶ ζωοποιὸς Σταυρὸς τοῦ Χριστοῦ. Εἰσί τινες ὅμως οἱ πράττοντες τὰ ἐναντία εἰς ταύτην τὴν ἀρχαίαν παράδοσιν τῆς ἁγίας μας Ἐκκλησίας· ἀλλ' οὐδὲ πάλιν σχεδιάζουσι τὸν Σταυρὸν κατὰ τὴν παρ' ἡμῶν προγραφεῖσαν ὑποτύπωσιν, ἀλλὰ ἑνώνουσι τὸν πρῶτον δάκτυλον μετὰ τῶν λοιπῶν τεσσάρων, μεθ' ὧν ὁμοῦ ἑνουμένων, ὡς οἱ Ἀρμένιοι, περικλείουσιν ἐν αὐτοῖς τὸ μυστήριον τῆς παναγίας καὶ ὁμοουσίου Τριάδος, καὶ διὰ τῶν λοιπῶν τεσσάρων, τουτέστι διὰ τοῦ λιχανοῦ, ἤγουν τοῦ δεικτικοῦ εἴτε τοῦ δευτέρου, καὶ τοῦ μέσου, παρεμφαίνουσι καὶ ἑνοῦσι τὸ μυστήριον τοῦ Θεοῦ Λόγου, φέροντες καί τινας μαρτυρίας τοῦ Μακαριωτάτου Μελετίου Ἀντιοχείας, καὶ τοῦ Μακαριωτάτου Θεοδωρήτου, καὶ τοῦ Ὁσίου Μαξίμου τοῦ ἐν τῷ ἁγιωνύμῳ τοῦ Ἄθωνος ὄρει ἀσκήσαντος ἐν τῇ ἱερᾷ τοῦ Βατοπεδίου Μονῇ. Καὶ οὕτω μὲν οἱ τοιοῦτοι, διὰ τὴν ἀπατηλὴν καὶ ψευδῆ αὐτῶν γνώμην, ἀπειθοῦντες τῇ Ἐκκλησίᾳ, ἐπισπῶσι καὶ κατασύρουσιν ἑαυτοὺς εἰς ἀπώλειαν, ἀκολουθοῦντες τὰ ἴχνη ἀμαθῶν τινων καὶ ἀπαιδεύτων ἀνθρώπων, οἵ τινες, διὰ νὰ ἰαθῶσι τῆς φρενοβλαβοῦς αὐτῶν καὶ ψυχολέθρου γνώμης, δύνανται νὰ λάβωσι τὴν θεραπείαν οἱ βουλόμενοι πλουσίαν τε καὶ δαψιλῆ παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας. Ὅσοι γοῦν πείθονται εἰς τὴν ἀληθινὴν διδασκαλίαν τῆς ἁγίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Χριστοῦ Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, διὰ τῆς ἑνώσεως τῶν τριῶν πρώτων δακτύλων ἐμφαίνουσι καὶ φανερώνουσι τὴν παναγίαν Τριάδα, καὶ τὸ ἀπόῤῥητον τῆς ἐνσάρκου οἰκονομίας Μυστήριον, κατὰ τὴν ἀρχαίαν ἀληθινὴν παράδοσιν τῶν ἁγίων Πατέρων. Ὅσοι δὲ πάλιν ἀπειθοῦσι, καὶ πράττουσι τὰ ἐναντία τούτων, ὑπὸ τῆς ἀληθείας τοῦ δόγματος ἐλεγχόμενοι, καταδεξάσθωσαν ὁμοῦ μετὰ τῶν ὀρθοδόξων καὶ εὐσεβῶν Χριστιανῶν ὑμνεῖν καὶ δοξάζειν ἀκαταπαύστως τὴν παναγίαν καὶ ὁμοούσιον καὶ ἀδιαίρετον Τριάδα, παρ' ἧς ἀξιωθείησαν τῆς ἀφράστου καὶ μακαρίας ἐλλάμψεως ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς αἰωνίου βασιλείας τῶν οὐρανῶν.

# ΝΙΚΟΛΑΟΥ

## ΙΕΡΕΩΣ ΤΟΥ ΜΑΛΑΞΟΥ

## ΠΡΩΤΟΠΑΠΑ ΝΑΥΠΛΙΟΥ.

### Περὶ σημασίας τῶν δακτύλων τῆς χειρὸς τοῦ Ἱερέως, ἐν τῷ εὐλογεῖν τὸν χριστεπώνυμον λαόν.

Τὸ μὲν ὄρθιον τοῦ λιχανοῦ δακτύλου, καὶ τὸ ἐπικαμπὲς τοῦ μέσου, τοῦ καὶ σφακέλου λεγομένου, τὸ Ἰησοῦς ὄνομα προδήλως χαρακτηρίζει, τοῦ ὀρθίου τὸ Ι παριστῶντος, τοῦ δὲ καμπύλου τὸ Σ, τοῖς ἔνθεν καὶ ἔγγιστα ἀλλήλων οἱ δύο οὗτοι δάκτυλοι οὑτωσίπως διατυπούμενοι, ἀριδήλως τοῦτο ἐμφαίνουσιν. Ἡ δὲ τοῦ ἀντίχειρος καὶ τοῦ παραμέσου, τοῦ καὶ ἐπιβάτου καλουμένου, πρὸς ἀλλήλους πλαγία ἕνωσις, καὶ αὖθις τὸ ἔγγιστα τούτων καμπύλον τοῦ μύωπος, τὸ Χριστὸς ὄνομα σημαίνουσιν ἀμφότερα· ἡ γὰρ πλαγιότης τοῦ ἀντίχειρος καὶ τοῦ ἐπιβάτου τὸ Χ στοιχεῖον ἐνδείκνυται, ὁ δὲ κυρτόσχημος μύωψ, τὸ μετὰ τοῦτο Σ, δι' ὧν τὸ Χριστὸς ὄνομα, ὡς εἴρηται, δείκνυται. Ἵνα δὲ σαφέστερον τοῦτο πρὸς διάγνωσιν ἔχῃ ὁ βουλόμενος, σχεδιασάτω τὴν χεῖρα εὐλογοῦσαν, καὶ ἀριδήλως τὸ λεγόμενον οὐδὲν ἄλλο δηλοῦν εὑρήσει, ἢ τὸ τοῦ εὐλογημένου Ἰησοῦ Χριστοῦ ὄνομα, ἐν ᾧ εὐλογοῦνται πάντα τὰ ἔθνη, ὡς ἡ πρὸς τὸν μακάριον Πατριάρχην Ἀβραὰμ ἐπαγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γελία γέγονεν· Ἐνευλογηθήσονται γάρ, φησιν, ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς· οὐκ εἶπε δὲ, φησὶν ὁ Θεῖος Ἀπόστολος, ἐν τοῖς σπέρμασιν, ἀλλ' ἐν τῷ σπέρματι, ὅς ἐστιν ὁ Χριστός· ἐχρῆν τοιγαροῦν καὶ τὸν σχηματισμὸν τῆς εὐλογούσης χειρὸς τοὺς ἐν Χριστῷ Ἰησοῦ εὐλογημένους, οὐδὲν ἄλλο σημαίνειν, ἢ αὐτὸ τὸ ὄνομα τοῦ ἐν ᾧ εὐλογούμεθα. Διὰ τοῦτο γὰρ, οἶμαι, καὶ Θειοτέρᾳ προνοίᾳ οὕτως ἀρχῆθεν ὑπ' αὐτοῦ τοῦ τῶν ὅλων Δημιουργοῦ οἱ δάκτυλοι τῆς ἀνθρωπίνης παλάμης ἐξήρτηνται, καὶ οὐ πλείους, οὐδ' ἐλάττονες, ἀλλ' ὅσοι ἂν μὴ περιττῶς, μηδὲ ἐλλειπῶς, ἀλλ' ἀρκούντως πρὸς τὴν τοιαύτην σημασίαν ἔχοντες.

## ΚΑΤΑΓΡΑΦΗ

# ΤΩΝ ΣΥΝΟΔΩΝ

Αἱ Οἰκουμενικαὶ Σύνοδοι, πόσαι, πότε, καὶ ποῦ, καὶ εἰς τίνων Βασιλέων ἡμέρας, καὶ τίνων Παπῶν, καὶ Πατριαρχῶν, καὶ ἐν ποίαις τῶν Πόλεων, καὶ κατὰ τίνων Αἱρετικῶν γεγόνασι· ταῦτα πάντα εὑρήσεις ἀκριβῶς ἐν τοῖς παροῦσι Κανονίοις. Ἴσθι δὲ, ὅτι τοῦ ἐννάτου Κανονίου τὰ ἄνω ὀνόματα εἰσὶ τῶν Παπῶν, τὰ κάτω δὲ, τῶν τούτων Τοποτηρητῶν.

Ἡ έ. Σύνοδος καὶ ἡ ς'. Κανόνας οὐκ ἐξέθεντο. Διὰ τοῦτο ἡ ἐν Τρούλλῳ ἐγένετο· (οἶκος δὲ ἦν οὗτος περιφανὴς κείμενος ἐν Κωνσταντινουπόλει·) ἥτις Σύνοδος ὠνομάσθη Πενθέκτη, ἐπὶ Βασιλέως Γουστινιανοῦ τοῦ Ῥινοτμήτου γεγονυῖα, καὶ Μητροπολίτου Κρήτης Βασιλείου, τοποτηρητοῦ τοῦ Πάπα· παρόντος καὶ Παύλου Πατριάρχου Κωνσταντινουπόλεως, ποιήσασα Κανόνας 102. Πατέρας δὲ εἶχε 227. ἔτει 690.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΑΝΟΝΙΟΝ.

| Πατριάρχαι. | Πατέρες | Πόλεις | Κατὰ τίνων. | Κανόνες |
|---|---|---|---|---|
| Μητροφάνης Κωνσταντινουπ. | 318 | Νίκαια | Ἀρείου, κτίσμα τὸν Υἱὸν λέγοντος. | κ'. |
| Γρηγόριος ὁ Θεολόγος. | 150 | Κωνσταντινούπ. | Μακεδονίου τοῦ Πνευματομάχου. | ζ'. |
| Κύριλλος Ἀλεξανδρ. ἐπίτροπος τοῦ Πάπα. | 200 | Ἔφεσος. | Νεστορίου τοῦ Ἀνθρωπολάτρου. | ή. |
| Ἀνατόλιος Κωνσταντινουπ. | 630 | Χαλκηδὼν. | Διοσκόρου τοῦ Μονοφυσίτου. | λ'. |
| Εὐτύχιος Κωνσταντινουπ. | 160 | Κωνσταντινούπ. | Ὠριγένους, τέλος τῆς κολάσεως ληροῦντος. | |
| Γεώργιος Κωνσταντινουπ. | 170 | Κωνσταντινούπ. | Ὀνωρίου Πάπα, Σεργίου, καὶ Πύῤῥου τῶν Μονοθελητῶν. | |
| Ταράσιος Κωνσταντινουπ. | 367 | Νίκαια | Κατὰ τῶν Εἰκονομάχων. | χβ'. |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΑΝΟΝΙΟΝ.

| Ἔτη Ἀπὸ Χριστοῦ | Σύνοδοι. | Βασιλεῖς. | Πάπαι, καὶ Τοποτηρ. |
|---|---|---|---|
| 318 | α'. | Κωνσταντῖνος ὁ Μέγας. | Σίλβεστρος, Βίτων Βικεντίων. |
| 382 | β'. | Θεοδόσιος ὁ Μέγας. | Δάμασος παρών. |
| 431 | γ'. | Θεοδόσιος ὁ Μικρός. | Κελεστῖνος. |
| 451 | δ'. | Μαρκιανός. | Λέων, Πασχαλῖνος, καὶ Λουκιανός. |
| 533 | ε'. | Ἰουστινιανὸς ὁ Μέγας. | Βιγίλιος παρών. |
| 680 | ς'. | Κωνσταντῖνος ὁ Πωγωνάτος. | Ἀγάθων, Θεόδωρος, καὶ Γεώργιος. |
| 778 | ζ'. | Κωνσταντῖνος καὶ Εἰρήνη. | Ἀδριανός, Πέτρος, καὶ Πέτρος. |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Μέθοδος τοῦ εὑρίσκειν τοὺς Μῆνας, πότε ἀρχίζει ὁ καθένας, καὶ πόσας ἡμέρας ἔχει κατὰ τὸ νέον Καλεντάριον.

Ἐὰν θέλῃς νὰ εὕρῃς, κατὰ τὸ νέον Καλεντάριον, πότε ἀρχίζει ὁ καθεὶς μῆνας, καὶ πόσας ἡμέρας ἔχει, μετρᾷς τέτοιας λογῆς· χάριν λόγου, σήμερον κατὰ τὸ παλαιὸν Καλεντάριον ἔχομεν 5. τοῦ Μαρτίου· εἰς τὰς 5. αὐτὰς προσθέτεις καὶ 12. καὶ γίνονται 17. καὶ τόσας ἔχει ὁ Μάρτιος κατὰ τὸ νέον· ὅθεν αὐτὰς τὰς 12. ἡμέρας βάνεις πάντοτε εἰς τὸν ἀριθμὸν τοῦ τρέχοντος μηνὸς κατὰ τὸ παλαιὸν, δηλαδὴ ἂν ὁ μῆνας ἔχει, 8, ἢ 12, ἢ 15, καὶ τὰ ἑξῆς, καὶ ὅσος ἀριθμὸς συναχθῇ, τόσας ἔχει ὁ μῆνας κατὰ τὸ νέον Καλεντάριον· ἤγουν ἡ 8. μὲ τὴν προσθήκην τοῦ 12. γίνονται 20. ἡ 12. 24. ἡ 15. 27. καὶ ὅταν εὔγωσι παραπάνω ἀπὸ τὰς 30, τοῦ μηνὸς, ῥίπτεις τὰ 30. καὶ κρατεῖς τὰ ἐναπολειφθέντα, καὶ τόσας ἡμέρας ἔχει ὁ μῆνας· ἤγουν ὁ μῆνας κατὰ τὸ παλαιὸν ἔχει 28. βάνομεν καὶ 12. καὶ γίνονται 40. εὐγάνομεν τὰ 30 καὶ μένουσι 10. καὶ τόσαν ἔχει ὁ μῆνας. Ἂν ὁ μῆνας ἔχῃ 31, εὐγάνεις 31, καὶ τὰ ἐναπολειφθέντα κρατεῖς, καὶ οὕτω κάμνε πάντοτε, καὶ δὲν λανθάνεσαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΣΥΝΟΙΚΕΣΙΩΝ

## ΚΑΙ ΤΙ ΕΣΤΙ ΣΥΝΟΙΚΗΣΙΣ.

Συνοίκησις λέγεται, διότι ὅταν ἁρμοσθῇ ἕνας ἄνθρωπος μίαν γυναῖκα, μὲ ὅλον ὁποῦ ποτὲ οὔτε τὴν εἶδεν, οὔτε τῆς ὡμίλησεν, ἀφ' οὗ τὴν εὐλογηθῇ, τὴν πέρνει εἰς τὴν κατοικίαν τȣ, καὶ συνοικεῖ μετ' αὐτῆς, τουτέστι κατοικοῦν καὶ οἱ δύο εἰς ἕνα οἴκημα.

Ἔτι δὲ λέγεται συνοίκησις, ὅτι σμίγονται, καὶ γίνονται μία σάρκα κατὰ τὸν ὁρισμὸν τοῦ Θεοῦ, μὲ εὐχαῖς καὶ ἱερολογίαις τοῦ Ἱερέως νομίμως.

### Πῶς πρέπει νὰ γίνεται τὸ Συνοικέσιον.

Πρῶτον μὲν πρέπει νὰ ἦναι ἐλεύθερον ἀπὸ πάσης συγγενείας διὰ νὰ ἦναι νόμιμον, καὶ ἅγιον τὸ Μυστήριον. Δεύτερον νὰ φυλάττεται τὸ εὐπρεπὲς εἰς τὴν ἡλικίαν, νὰ μὴν ἦναι ὁ ἀνὴρ γέρων, καὶ ἡ γυνὴ νέα, οὔτε ἡ γυνὴ γραῖα, καὶ ὁ ἀνὴρ νέος, ἀλλὰ νὰ ἦναι καὶ τὰ δύο πρόσωπα σύγχρονα, ἢ ἂν περνᾷ τὸ ἕνα μέρος τοῦ ἀνδρὸς ὀλίγον, καὶ πάλιν εὐπρεπὲς εἶναι, ἀμὴ ὅταν περνᾷ ἡ γυνὴ τὸν ἄνδρα εἰς τοὺς χρόνους, εἶναι ἄτακτον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΣΥΓΓΕΝΕΙΑΣ.

Ἡ συγγένεια μερίζεται εἰς πέντε τάξεις.

Α΄. ἐξ Αἵματος.
Β΄. ἐξ Ἀγχιστείας.
Γ΄. ἐκ Τριγενείας.
Δ΄. ἐκ τοῦ ἁγίου Βαπτίσματος.
Ε΄. ἐξ Υἱοθεσίας.

Ἡ ἐξ αἵματος συγγένεια χωρίζεται εἰς τρία, εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ εἰς πλαγίους.

Καὶ ἀνιόντες μὲν εἶναι ὁ Πατὴρ ὁ Πάππος, καὶ ὁ Πρόππαπος. Κατιόντες δὲ εἶναι ὁ Υἱὸς, ὁ ἔγγονος, ὁ δισέγγονος, καὶ οἱ ἑξῆς. Πλάγιος δὲ εἶναι ὁ Ἀδελφὸς, ὁ Ἐξάδελφος, καὶ ὁ Δισεξάδελφος.

Καὶ ἡ αὐτὴ συγγένεια λύεται ἕως τὸν ὄγδοον βαθμόν.

Ἡ ἐξ ἀγχιστείας συγγένεια εἶναι, ὅταν συμβαίνῃ ἀπὸ δύο γένη.

Τουτέστιν εἷς ἄνθρωπος πέρνει γυναῖκα, καὶ ὅλοι της οἱ συγγενεῖς γίνονται καταχρηστικῶς συγγενεῖς καὶ τοῦ ἀνδρὸς, ἐπειδὴ γίνονται σάρκα μία, καὶ ὅσους συγγενεῖς ἔχει ἡ γυναῖκα, εἶναι καὶ τοῦ ἀνδρός.

Ἡ ἐκ τριγενείας γίνεται καὶ αὐτὴ ὁμοίως ἀπὸ τρία γένη· ἄλλο γὰρ γένος εἶμαι ἐγὼ καὶ ἄλλο γένος ἡ γυναῖκά μȣ καὶ ὁ ἀδελφός της, καὶ ἄλλο ἡ γυναῖκά του· δύναμαι νὰ πάρω τοῦ Γυναικαδελφοῦ μου τὴν Γυναικαδελφὴν, τὴν δὲ γυναῖκα αὐτοῦ δὲν πέρνω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ συγγένεια τοῦ ἁγίου Βαπτίσματος εἶναι σεμνοτέρα τῆς ἐξ αἵματος συγγενείας· διὸ τοῦτο πρέπει νὰ φυλάττεται μὲ μεγάλην ἀκρίβειαν, καθὼς ὁρίζει ὁ τρίτος Κανὼν τῆς ἕκτης Συνόδου, καὶ διὰ τοῦτο φυλάττεται καὶ αὐτὴ ἕως τὸν ὄγδοον βαθμὸν, καὶ μετρεῖται οὕτως ὡς κάτωθεν.

Εἷς ἄνθρωπος ἐβάπτισε δύο παιδία, ἀρσενικὸν καὶ θηλυκόν. Δὲν δύνανται νὰ συνέλθων εἰς γάμον, ἐπειδὴ εἶναι ἑνὸς ἀναδόχου τέκνα, καὶ λέγονται ἀδέλφια πνευματικά· οὔτε τὰ τέκνα τους, οὔτε τὰ ἔγγονά τους δύνανται νὰ ἁρμοσθοῦν ἕως τὸν ὄγδοον βαθμὸν, καθὼς καὶ εἰς τὴν ἐξ αἵματος συγγένειαν.

Ὅταν παραδείγματος χάριν εἷς ἄνθρωπος ἀναδεχθῇ τὸν Υἱόν μου ἐκ τοῦ ἁγίου Βαπτίσματος, ἐκεῖνος λέγεται Ἀδελφός μου Πνευματικὸς, καὶ ὁ Υἱὸς μου ὁποῦ ἀνεδέχθη εἶναι καὶ Υἱὸς αὐτοῦ Πνευματικός· τὰ δὲ ἄλλα μου τέκνα, ὁποῦ δὲν ἀνεδέχθη, εἶναι μετ' ἐκεῖνον τρίτου βαθμοῦ ὡσὰν τέκνα τοῦ Ἀδελφοῦ του, καὶ οὔτε ἐκεῖνα δύνανται νὰ συνέλθωσιν εἰς γάμον, ἕως τὸν ὄγδοον βαθμόν.

Εἰς δὲ τοῦ Ἀδελφοῦ αὐτοῦ τὰ τέκνα δὲν εἶναι κάμμία συγγένεια, οὔτε μὲ ἐμὲ, οὔτε μὲ τὰ τέκνα μου, μόνον εἰς ἐμὲ, καὶ εἰς ἐκεῖνον, ὁποῦ μὲ τὴν ἱερολογίαν τοῦ ἁγίου Βαπτίσματος ἀναδέχθη τὸν Υἱόν μου, ἐμεσίτευσε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐποίησέ μας Ἀδελφοὺς, εἶναι μεγάλη συγγένεια, καὶ εἰς τοὺς κατιόντας ἐξ ἡμῶν, εἰς δὲ τοὺς ἐκ πλαγίου δὲν βλάπτει.

Ἡ συγγένεια τῆς Υἱοθεσίας, ὁποῦ γίνεται μὲ ἱερολογίαν, ὅταν τις ἄνθρωπος δὲν κάμνῃ παιδία, ἢ ἔκαμε καὶ ἀπέθανον, καὶ πέρνῃ ἕνα παιδὶ ξένον, καὶ κάμνει το πνευματικὸν αὐτοῦ τέκνον μὲ ἱερολογίαν, ὡσὰν ἐκεῖνο ὁποῦ ἐγέννησε σαρκικῶς, εἶναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στερκτὴ καὶ εἰς τοὺς βαθμοὺς καὶ εἰς τὴν κληρονομίαν· λέγει γὰρ ὁ Νόμος.

Οὐ δύναμαι νὰ λάβω τοῦ Πάππου μου τὴν Θυγατέρα εἰς γυναῖκα, ὅτι εἶναι ἀδελφὴ πνευματικὴ τοῦ Πατρός μου.

Οὐδὲ τοῦ Θετοῦ μου Υἱοῦ τὴν Θυγατέρα δύναμαι λαβεῖν γυναῖκα.

Οὐδὲ ὁ Θετὸς Υἱὸς τοῦ Θετοῦ αὐτοῦ Πατρὸς τὴν γυναῖκα δὲν πέρνει.

Καὶ καθεξῆς δὲν λαμβάνει οὔτε τὴν Θυγατέρα αὐτοῦ, οὔτε τὴν ἐγγόνην, ἕως οὗ νὰ τελειωθῇ ὁ ὄγδοος βαθμὸς εἰς τοὺς κατιόντας μόνον, εἰς δὲ τοὺς πλαγίους δὲν ἐμποδίζεται, καθὼς καὶ εἰς τὴν συγγένειαν τοῦ ἁγίου Βαπτίσματος.

Τουτέστιν εἷς ἄνθρωπος ἔχει Θετὴν Θυγατέρα· ὁ ἀδελφὸς αὐτοῦ καὶ ὁ ἐξάδελφος δύναται νὰ τὴν λάβῃ διὰ νόμιμον γυναῖκα.

Ὅτι καὶ Καλογραῖαι, καὶ Παρθένοι γυναῖκες υἱοθετοῦσιν ἀκωλύτως, τὰ ὁποῖα παιδία λαμβάνουσιν ἀπὸ τὰ ἀγαθὰ αὐτῶν κληρονομίαν, χωρὶς τινὸς κρίσεως.

Ἐὰν ἔχω παιδίον σαρκικὸν, καὶ βαπτίσω καὶ ἕνα ὁποῦ μοῦ γίνεται πνευματικὸν, δύνανται νὰ λάβουν δύο ἀδελφὰς ἀνεμποδίστως.

Ὁμοίως ἐὰν βαπτίσω δύο παιδία ξένα ἕνα ἀπὸ τὸ ἄλλο, ἀνεμποδίστως δύνανται νὰ πάρουν δύο ἀδελφὰς, ὅτι ἡ συγγένεια τοῦ ἁγίου Πνεύματος εἶναι μόνον εἰς τὰ δύο πρόσωπα ἐκεῖνα, καὶ εἰς τὸς κατιόντας ἐξ αὐτῶν, εἰς δὲ τὰ ἄλλα δὲν ἐμποδίζει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΜΑΝΟΥΗΛ ΤΟΥ ΞΑΝΘΙΝΟΥ

## ΜΕΓΑΛΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ

## ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

# ΠΕΡΙ ΣΥΓΓΕΝΕΙΑΣ ΠΕΡΙΓΡΑΦΗ.

Οὐ δύναταί τις λαβεῖν γυναῖκα τὴν Ἀδελφὴν αὐτȣ͂.

Πέτρος ἐγέννησε.

| | | |
|---|---|---|
| Γεώργιον. | Ἀδελφ. | καὶ Μαρίαν. |

Οὐ δύναται λαβεῖν ὁ Γεώργιος τὴν Μαρίαν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Β'.

Οὐδὲ τὴν ἀνεψιὰν αὐτοῦ δύναται λαβεῖν.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| | | Εἰρήνη. |

Οὐ δύναται λαβεῖν ὁ Γεώργιος τὴν Εἰρήνην εἰς γυναῖκα, ὅτι εἶνε Βαθμὸς Γ'.

Οὐδὲ τὴν Ἐξαδέλφην αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| Θωμᾶς. | Ἐξαδέλ. | Εἰρήνη. |

Οὐ δύναται λαβεῖν ὁ Θωμᾶς τὴν Εἰρήνην εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Δ'.

Οὐδὲ τὴν θυγατέρα τῆς Ἐξαδέλφης αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| Θωμᾶς. | Ἐξαδέλ. | Εἰρήνη. |
| | | Μαρία. |

Οὐ δύναται λαβεῖν ὁ Θωμᾶς τὴν Μαρίαν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Ε'.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδὲ τὴν δὶς Ἐξαδέλφην αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| Θωμᾶς. | Ἐξαδέλ. | Εἰρήνη. |
| Δημήτριος. | δὶς Ἐξαδέλ. | Μαρία. |

Οὐ δύναται λαβεῖν ὁ Δημήτριος τὴν Μαρίαν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς ϛ΄.

Οὐδὲ τὴν θυγατέρα τῆς δὶς Ἐξαδέλφης αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| Θωμᾶς. | Ἐξαδέλ. | Εἰρήνη. |
| Δημήτριος. | δὶς Ἐξαδέλ. | Μαρία. |
| | | Ἄννα. |

Οὐ δύναται λαβεῖν ὁ Δημήτριος τὴν Ἄνναν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Ζ΄.

Τινὲς δὲ λέγουσιν, ὅτι τὸν παλαιὸν καιρὸν ἐγίνετο ἀκωλύτως· ὁ δὲ Οἰκουμενικὸς Πατριάρχης Κύριος Ἀλέξιος συνοδικῶς ἐμπόδισε καὶ ἐγγράφως νὰ μὴ γίνεται· ὅμως ἂν φθάσῃ καὶ γενῇ ἐξ ἀγνωσίας, κανονίζεται παρὰ τοῦ Ἀρχιερέως, καὶ δὲν χωρίζεται.

Λαμβάνει δὲ τὴν τρὶς Ἐξαδέλφην αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης. |
| Θωμᾶς. | Ἐξαδέλ. | Εἰρήνη. |
| Δημήτριος. | δὶς Ἐξαδέλ. | Μαρία. |
| Ἀλέξιος. | τρὶς Ἐξαδέλ. | Ἄννα. |

Ὁ Ἀλέξιος λαμβάνει τὴν Ἄνναν εἰς γυναῖκα, ὅτι εἶνε Βαθμὸς ή. καὶ ἕως τῶν ὀκτὼ Βαθμῶν ἡ ἐξ αἵματος Συγγένεια διαλύεται, καὶ εἰς ἀνιόντας, καὶ εἰς κατιόντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΤΩΝ ΕΞ ΑΓΧΙΣΤΕΙΑΣ ΣΥΓΓΕΝΕΙΩΝ,

## ΤΟΥΤΕΣΤΙΝ ΑΠΟ ΔΥΟ ΣΥΓΓΕΝΕΙΑΣ.

Οὐ δύναταί τις λαβεῖν Μητέρα, καὶ Θυγατέρα.
Πέτρος ἁρμόσθη τὴν Μαρίαν, καὶ ἀπέθανεν.
Ἡ Μαρία ἐγέννησεν Εἰρήνην.
Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Εἰρήνην εἰς γυναῖκα, ὅτι εἶναι προγονή του, καὶ εἶναι Βαθμὸς Β΄.

Οὔτε Μάμμην, καὶ Ἐγγόνην.

Πέτρος————————Μαρία
Εἰρήνη
Ἄννα

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἄνναν, ἐπειδὴ εἶναι ἐγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Γ΄.

Οὔτε Μάμμην, καὶ δισεγγόνην.

Πέτρος————————Μαρία
Εἰρήνη
Ἄννα
Θεοδώρα

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Θεοδώραν, ἐπειδὴ εἶναι δισεγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Δ΄.

Οὔτε Μάμμην, καὶ τρισεγγόνην.

Πέτρος————————Μαρία
Εἰρήνη
Ἄννα
Θεοδώρα
Ἑλένη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἑλένην, ἐπειδὴ εἶναι τρισεγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Ε΄.

Οὔτε Θείαν μεγάλην καὶ Ἀνεψιάν.

Πέτρος—Μαρία. Ἀδελφ. Θεοδώρα
Εἰρήνη

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Εἰρήνην, ἐπειδὴ εἶναι ἀνεψιὰ τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Γ΄.

Οὔτε τὴν ἐγγόνην τῆς Γυναικαδελφῆς αὐτοῦ.

Πέτρος—Μαρία. Ἀδελφ. Θεοδώρα
Εἰρήνη
Ἄννα

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἄνναν, ἐπειδὴ εἶναι ἐγγόνη τῆς Θεοδώρας τῆς Γυναικαδελφῆς αὐτοῦ, καὶ εἶναι Βαθμὸς Δ΄.

Οὔτε δύο Ἐξαδέλφας.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Θεοδώραν, Ἐξαδέλφην τῆς Μαρίας τῆς πρώτης γυναικὸς αὐτȣ̃, ὅτι εἶναι Βαθμὸς Ε΄.

Οὔτε μικρὰν Θείαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Εἰρήνη

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Εἰρήνην, Θυγατέρα, τῆς Ἐξαδέλφης Μαρίας τῆς πρώτης γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς ς΄.

Οὔτε δύο δὶς Ἐξαδέλφας.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Ἑλένη δὶς Ἐξαδέλ. Εἰρήνη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Εἰρήνην, δὶς Ἐξαδέλφην Μαρίας τῆς πρώτης γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ζ′.

Λαμβάνει δὲ τὴν Θυγατέρα τῆς δὶς Ἐξαδέλφης αὐτῆς.

| | | |
|---|---|---|
| Πέτρος—Μαρία. | Ἐξαδέλ. | Θεοδώρα |
| Ἑλένη | δὶς Ἐξαδέλ. | Εἰρήνη |
| | | Ἄννα |

Δύναται δὲ λαβεῖν τὴν Θυγατέρα τῆς δὶς Ἐξαδέλφης Μαρίας τῆς γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Η′.

Οὐ δύναται Πατὴρ, καὶ Υἱὸς λαβεῖν Μητέρα, καὶ Θυγατέρα.

Πέτρος————————————Μαρία
Ἰωάννης Θεοδώρα

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι προγονὴ τοῦ Πέτρου τοῦ Πατρὸς αὐτοῦ, καὶ εἶναι Βαθμὸς Β′.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς Μάμμην, καὶ ἐγγόνην.

Πέτρος————————————Μαρία
Ἰωάννης Θεοδώρα
Ἄννα

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Ἄνναν ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Γ′.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς Μάμμην, καὶ δὶς ἐγγόνην.

Πέτρος————————————Μαρία
Ἰωάννης Θεοδώρα
Ἄννα
Εἰρήνη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...ύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Εἰρήνην, δισεγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Δ΄.

Οὔτε Μάμμην, καὶ τρὶς Ἐγγόνην.

Πέτρος——————————————Μαρία
Θεοδώρα
Ἄννα
Εἰρήνη
Ἑλένη

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Ἑλένην, τρὶς ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ ὅτι εἶναι Βαθμὸς Ε΄.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς δύο Ἀδελφάς.

Πέτρος—Μαρία. Ἀδελφ. Θεοδώρα
Ἰωάννης.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι Γυναικαδελφὴ τοῦ Πατρὸς αὐτοῦ, καὶ εἶναι Βαθμὸς Γ΄.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς μεγάλην Θείαν, καὶ ἀνεψιάν,

Πέτρος—Μαρία. Ἀδελφ. Θεοδώρα
Ἰωάννης Εἰρήνη

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Εἰρήνην, ὅτι εἶναι ἀνεψιὰ τῆς Μαρίας γυναικὸς τοῦ Πατρὸς αὐτοῦ καὶ εἶναι Βαθμὸς Δ΄.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς δύο Ἐξαδέλφας.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα.
Ἰωάννης.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Εἰρήνην, Ἐξαδέλφην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς μικρὰν Θεῖαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Ἰωάννης Εἰρήνη

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν εἰς γυναῖκα τὴν Εἰρήνην, θυγατέρα Θεοδώρας τῆς Ἐξαδέλφης Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ϛ′.

Οὐδὲ Πατὴρ, καὶ Υἱὸς δύο δὶς Ἐξαδέλφας.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Ἰωάννης, Ἑλένη δὶς Ἐξαδέλ. Εἰρήνη.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Εἰρήνην, δὶς Ἐξαδέλφην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ζ′.

Οὐδὲ Πάππος καὶ Ἔγγονος, Μητέρα, καὶ Θυγατέρα.

Πέτρος————————Μαρία
Ἰωάννης Θεοδώρα
Γεώργιος.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν, προγονὴν τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Γ′.

Οὐδὲ Πάππος, καὶ Ἔγγονος, Μάμμην, καὶ Ἐγγόνην.

Πέτρος————————Μαρία
Ἰωάννης Εἰρήνη
Γεώργιος Ἄννα

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Ἄνναν, Ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Δ′.

Οὔτε Πάππος καὶ Ἔγγονος, Μάμμην, καὶ δὶς Ἐγγόνην.

Πέτρος————————Μαρία

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰωάννης Εἰρήνη
Γεώργιος Ἄννα
Θεοδώρα

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν, δὶς Ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

Οὐδὲ Πάππος, καὶ Ἔγγονος, δύο Ἐξαδέλφας.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Ἰωάννης
Γεώργιος

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν, Ἐξαδέλφην Μαρίας τῆς γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ϛ΄.

Οὐδὲ Πάππος, καὶ Ἔγγονος, μεγάλην Θείαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία. Ἀδελφ. Θεοδώρα
Ἰωάννης Εἰρήνη
Γεώργιος.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Εἰρήνην, ἀνεψιὰν Μαρίας τῆς γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

Πάππος δὲ καὶ Ἔγγονος λαμβάνουσι μικρὰν Θείαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία Ἐξαδέλ. Θεοδώρα
Ἰωάννης Εἰρήνη

Δύναται δὲ λαβεῖν ὁ Ἰωάννης γυναῖκα τὴν Εἰρήνην, Θυγατέρα Θεοδώρας Ἐξαδέλφης Μαρίας τῆς γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ζ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πάππος καὶ Δισέγγονος δὲν πέρνουν δύο Ἐξαδέλ.

Πέτρος—Μαρία. Ἐξαδέλ. Θεοδώρα
Ἰωάννης
Γεώργιος
Δημήτριος

Οὐ δύναται λαβεῖν ὁ Δημήτριος γυναῖκα τὴν Θεοδώραν, ἀγκαλὰ καὶ εἶναι Βαθμὸς Ζ.

Ἀλλὰ διὰ τὸ εὐπρεπὲς οὐ γίνεται.

Δύο Ἀδελφοὶ δὲν λαμβάνουν δύο Ἀδελφάς.

Παῦλος—Πέτρος—Μαρία Ἀδελ. Θεοδώρα.

Οὐ δύναται λαβεῖν ὁ Παῦλος τὴν Θεοδώραν εἰς γυναῖκα, ὅτι εἶναι Γυναικαδέλφη Πέτρου τοῦ Ἀδελφοῦ του, καὶ εἶναι Βαθμὸς Δ΄.

Οὔτε μεγάλην Θείαν, καὶ ἀνεψιὰν δὲν πέρνουν δύο Ἀδελφοί.

Παῦλος Ἀδελ. Πέτρος—Μαρία Ἀδελ. Θεοδώρα
Εἰρήνη

Οὐ δύναται λαβεῖν ὁ Παῦλος τὴν Εἰρήνην εἰς γυναῖκα, ὅτι εἶναι ἀνεψιὰ τῆς Μαρίας νύμφης του, καὶ εἶναι Βαθμὸς Ε΄.

Οὔτε δύο Ἐξάδελφοι δὲν πέρνουν δύο Ἀδελφάς.

Παῦλος Ἀδελ. Πέτρος—Μαρία Ἀδελ. Θεοδώρα
Ἑλένη Ἐξαδέλ. Εἰρήνη

Οὐ δύναται ὁ Παῦλος λαβεῖν γυναῖκα τὴν Εἰρήνην, ὅτι εἶναι Ἐξαδέλφη τῆς Μαρίας τῆς νύμφης του, καὶ βαθμὸς Ϛ΄.

Δύο Ἀδελφοὶ λαμβάνουσι μικρὰν Θείαν, καὶ ἀνεψιάν.

Παῦλος Ἀδελ. Πέτρος—Μαρία Ἀδελ. Θεοδώρα
Ἑλένη Ἐξαδέλ. Εἰρήνη
Ἄννα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ο῾ Παῦλος δύναται λαβεῖν εἰς γυναῖκα τὴν Ἄνναν, Θυγατέρα τῆς Ἐξαδέλφης Μαρίας τῆς νύμφης του, ὅτι εἶναι Βαθμὸς Ζ΄.

Δύο Ἀδελφοὶ δὲν πέρνουν Μητέρα, καὶ Θυγατέρα.

Παῦλος 'Αδελφ. Πέτρος—Μαρία<br>
Ἑλένη

Οὐ δύναται ὁ Παῦλος νὰ λάβῃ τὴν Ἑλένην γυναῖκα, ἐπειδὴ εἶναι Θυγατέρα Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Γ΄.

Δύο Ἀδελφοὶ δὲν πέρνουν Μάμμην, καὶ Ἐγγόνην.

Παῦλος 'Αδελφ. Πέτρος—Μαρία<br>
Εἰρήνη<br>
Θεοδώρα

Οὐ δύναται ὁ Παῦλος νὰ λάβῃ τὴν Θεοδώραν γυναῖκα, ἐπειδὴ εἶναι Ἐγγόνη Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Δ΄.

Δύο Ἀδελφοὶ δὲν πέρνουν Μάμμην, καὶ Δισεγγόνην.

Παῦλος 'Αδελφ. Πέτρος—Μαρία<br>
Ἑλένη<br>
Θεοδώρα<br>
Ἄννα

Οὐ δύναται λαβεῖν ὁ Παῦλος τὴν Ἄνναν γυναῖκα, ὅτι εἶναι Δισεγγόνη Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Ε΄.

Δύο Ἀδελφοὶ δὲν πέρνουν, Μάμμην, καὶ Τρισεγγόνην.

Παῦλος 'Αδελφ. Πέτρος—Μαρία<br>
Ἑλένη<br>
Θεοδώρα<br>
Ἄννα<br>
Εἰρήνη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δύναται ὁ Παῦλος λαβεῖν τὴν Εἰρήνην, ὅτι εἶναι Τρισεγγόνη τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Ϛ'.

Θεῖος καὶ ἀνεψιὸς λαμβάνουσι θείαν, καὶ ἀνεψιὰν, ἤγουν νὰ λάβῃ ὁ θεῖος τὴν θείαν, καὶ ὁ ἀνεψιὸς τὴν ἀνεψιὰν, διὰ τὸ εὐπρεπές.

Παῦλος Ἀδελφ. Πέτρος—Μαρία Ἀδελφ. Θεοδώρα.
Ἰωάννης Εἰρήνη

Δύναται δὲ ὁ Ἰωάννης λαβεῖν τὴν Εἰρήνην εἰς γυναῖκα, ἐπειδὴ ὁ Θεῖός του ὁ Πέτρος ἔχει τὴν Μαρίαν θείαν τῆς Εἰρήνης, καὶ εἶναι Βαθμὸς Ζ'.

Δύο Ἐξάδελφοι λαμβάνουν δύο Ἐξαδέλφας.

Παῦλος Ἐξαδ. Πέτρος—Μαρία Ἐξαδ. Θεοδώρα.

Δύναται ὁ Παῦλος λαβεῖν εἰς γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι Βαθμὸς Η'.

## ΠΕΡΙ ΤΡΙΓΕΝΕΙΑΣ.

Οὐ δύναμαι λαβεῖν τὴν γυναῖκα τοῦ Γυναικαδελφοῦ μου, λαμβάνω δὲ τὴν Ἀδελφὴν αὐτῆς.

Πέτρος—Μαρία Ἀδελ. Γεώργιος—Ἑλένη ἀδελ. Εἰρήνη.

Ὁμοίως καὶ ὁ Ἀδελφός μου λαμβάνει τὴν γυναῖκα τοῦ Γαναικαδελφοῦ μου, καὶ εἶναι βαθμὸς Δ'.

Τὴν γυναῖκα τοῦ προγονοῦ μου ἐγὼ οὐ λαμβάνω. Λαμβάνει δὲ ταύτην ὁ ἐμὸς Ἀδελφὸς, Βαθμὸς Δ'.

Πέτρος Ἀδ. Παῦλος Θεοδώρα—Υἱὸς Ἰωάννης Ἄννα.

Λαμβάνω δὲ τὴν προγονὴν τοῦ Γυναικαδελφοῦ μου, καὶ εἶναι βαθμὸς Δ'.

Πέτρος Μαρία Ἀδελ. Γεώργιος—Εἰρήνη
——————————————Ἑλένη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀποθανούσης τῆς γυναικός μου, λαμβάνω τοῦ Θείου αὐτῆς τὴν γυναῖκα, Βαθμὸς Δ'.

Πέτρος—Μαρία Θεῖος αὐτῆς Ἰωάννης—Ἄννα.

Ἔχω εἰς τὴν Ἀδελφήν μου Γαμβρὸν, καὶ λαμβάνω τοῦ Ἀδελφοῦ του τὴν γυναῖκα, Βαθμὸς Δ'.
Πέτρος Ἀδελ. Εἰρήνη—Γεώργ. Ἀδ. Ἰωάν. Μαρία.

Τῆς γυναικός μου ὁ πρῶτος ἄνδρας ἔλαβε νύμφην εἰς τὸν Ἀδελφὸν αὐτοῦ, ἐκείνην δὲν πέρνω, λαμβάνω δὲ τὴν Ἀδελφὴν αὐτῆς, καὶ εἶναι Βαθμὸς Ε'.
Πέτρ. Α'. ἄνδρας Μαρ. Ἀδ. Παῦ. Θεοδ. Ἀδ. Εἰρήνη.
Ἰωάννης Β'. ἄνδρας Μαρίας.

Γαμβρὸς, καὶ Γυναικαδελφὸς λαμβάνουν δύο Ἀδελφὰς, Βαθμὸς Ε'.
Πέτρος—Μαρία Ἀδελ. Γεώργ. Εἰρήνη Ἀδ. Ἄννα.
Δύο Ἀδελφοὶ ἔχουν Γυναικάδελφον, καὶ Γυναικαδέλφην, καὶ ἔρχονται εἰς γάμου κοινωνίαν, ὅτι εἶναι Βαθμὸς Ε'.
Πέτρ. Μαρ. Ἀδ. Ἰωάν. Παῦλος Ἄννα Ἀδ. Εἰρήνη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ
# ΘΑΝΑΣΙΜΩΝ ΑΜΑΡΤΗΜΑΤΩΝ
# ΚΑΙ ΑΡΕΤΩΝ.

Καθεξῆς φανερώνομεν ἐμπράκτως τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα, ὡς ἐν εἴδει δένδρου, εἰς τῶν ὁποίων τὰς ῥίζας ἀκολουθοῦν ἕτερα ἄλλα δέκα ἁμαρτήματα, ὡς βλέπεις· καὶ ἄνωθεν ἐκείνων γεννᾶται ἡ Ἀρετὴ ὡσὰν ἄνθος ῥόδου ἄνωθεν ἐστεμμένου μὲ κορωνίδα βασιλικήν· δηλονότι, ὁ ὁποιῶν ἐκείνην τὴν ἀρετὴν περιγίνεται, καὶ νικᾷ τὸ θανάσιμον ἁμάρτημα μὲ τοὺς δέκα αὐτοῦ βλαστούς, ὡς ἐν παραδείγματι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΦΘΟΝΟΣ.

Ὁ Φθόνος εἶναι πρῶτον θανάσιμον ἁμάρτημα, καὶ ἐξ αὐτοῦ γεννῶνται δέκα κλάδοι, ἤγουν ἡ ἐπιβουλὴ, ὁ θυμὸς, ἡ ἔχθρα, ἡ ἔρις, ἡ ἀχαριστία, ὁ μυκτηρισμὸς, ἡ χαιρεκακία, τὸ μῖσος, ἡ μνησικακία, καὶ ὁ φόνος. Ταῦτα ὅλα εἶναι κλάδοι καὶ καρποὶ τοῦ φθόνου. Ὁ δὲ ἔχων ἀληθινὴν ἀγάπην εἰς τὸν Θεὸν, καὶ εἰς τὸν πλησίον, ὅλα ταῦτα τὰ νικᾷ, καὶ καταπατεῖ, καὶ ἀπ' οὐδενὸς δὲν βλάπτεται· ὅτι ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ. Πάντα στέργει, πάντα πιστεύει, πάντα ὑπομένει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΦΙΛΑΡΓΥΡΙΑ

Η' Φιλαργυρία εἶναι ῥίζα πάντων τῶν κακῶν, καὶ ἐξ αὐτῆς γεννᾶται ἡ ψευδομαρτυρία, ἡ πλεονεξία, τὸ ψεῦδος, ἡ ἀσπλαγχνία, ὁ δόλος, ἡ ἀδικία, ἡ κλεψία, ἡ ἱεροσυλία, ὁ τόκος, ἡ εἰδωλολατρεία. Ταῦτα ὅλα εἶναι κλάδοι, καὶ καρποὶ τῆς φιλαργυρίας. Ο' δὲ ποιῶν τὴν 'Ελεημοσύνην, ὅλα ταῦτα τὰ καταπατεῖ, καὶ ὑπ' οὐδενὸς δὲν βλάπτεται· ὅτι ἡ 'Ελεημοσύνη ποιεῖ τὸν ἄνθρωπον ὅμοιον τῷ Θεῷ, ἐλεήμονα, εὔσπλαγχνον, φιλάνθρωπον, ἱλαρὸν, οἰκτίρμονα. Τέλος, ἀποκαθιστᾷ αὐτὸν φίλον Θεῷ, καὶ ἀκουστὸν ποιεῖ τὸ ὄνομα αὐτοῦ εἰς πάντας τούς τε ἐνεστῶτας, καὶ μέλλοντας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΟΡΝΕΙΑ

Η Πορνεία εἶναι ἁμάρτημα θανάσιμον, ἀπηγορευμένον εἰς τὰς δέκα ἐντολὰς τοῦ Θεοῦ· καὶ ἐξ αὐτῆς γεννᾶται ὁ συγκυλισμὸς, ἡ ἀρσενοκοιτία, ἡ ἀῤῥενομανία, ἡ αἱμομιξία ἡ φθορὰ, ἡ μαλακία, ἡ ἀκρασία, ἡ κτηνοβατεία, ἡ μοιχεία, καὶ ἡ ἀφοβία Θεοῦ. Ταῦτα ὅλα εἶναι κλάδοι, καὶ καρποὶ τῆς πορνείας. Ὁ δὲ ἔχων τὴν Σωφροσύνην, ὅλα ταῦτα τὰ νικᾷ, καὶ καταπατεῖ, καὶ ὑπ' οὐδενὸς, δὲν βλάπτεται, ὅτι ἡ σωφροσύνη διαφυλάττει τὸν ἄνθρωπον παρθένον, καθαρὸν, ἄφθαρτον, ὅμοιον Ἀγγέλῳ Θεοῦ, καὶ ἄξιον πάντοτε θυσίαν προσφέρειν τῷ Θεῷ, ἐν παντὶ καιρῷ, καὶ τόπῳ, ὑπὲρ ἑαυτοῦ, καὶ ὑπὲρ ὧν αὐτῷ ἐνετείλαντο.

μάλιστα...

Σίτσα 1940

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΓΑΣΤΡΙΜΑΡΓΙΑ

Η' Γαστριμμαργία εἶναι ἁμάρτημα θανάσιμον, καὶ ἐξ αὐτῆς γεννᾶται ἡ ἀσωτεία, ἡ ἀθέτησις νόμου, ἡ ἐπιορκία, ἡ μέθη, ἡ ἁρπαγὴ, ἡ φιληδονία, ἡ κλοπὴ, ἡ κολακεία, ἡ λαιμαργία, ἡ ἀσέλγεια. Ταῦτα ὅλα εἶναι κλάδοι, καὶ καρποὶ τῆς γαστριμαργίας. Ὁ δὲ νηστεύων εἰς ὅλα ταῦτα νικᾷ, καὶ περιγίνεται, καὶ ὑπ' οὐδενὸς βλάπτεται· ὅτι τῆς νηστείας ἀκολουθεῖ ἡ ἐγκράτεια, ἡ ἄσκησις, ἡ καθαρότης, ἡ προσευχή. Ὁ δὲ Θεῷ προσευχόμενος, τὰ πάντα κατορθοῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΥΠΕΡΗΦΑΝΙΑ

Η Ὑπερηφανία εἶναι ἁμάρτημα θανάσιμον, διὰ τῆς ὁποίας ἐξέπεσεν ὁ διάβολος, καὶ ἔγεινεν ἀπὸ φῶς σκότος. Ἐξ αὐτῆς γεννᾶται ἡ κενοδοξία, ἡ ἀλαζονεία, ἡ ὑπόκρισις, ἡ μεγαλαυχία, ἡ οἴησις, ἡ σκυθρωπότης, ἡ καύχησις, ἡ ἀφροσύνη, ἡ παρακοὴ, καὶ ὁ ψόγος, καὶ ἄλλα, τὰ ὁποῖα εἶναι ὅλα κλάδοι, καὶ καρποὶ τῆς ὑπερηφανίας. Ὁ δὲ ἔχων τὴν Ταπείνωσιν εἰς ταῦτα ὅλα περιγίνεται, καὶ ὑπερνικᾷ. Μακάριος δὲ ὅστις ταπεινώσῃ τὸν ἑαυτόν του, ὅτι ἐκεῖνος θέλει κληρονομήσει τὴν γῆν τῶν πρᾳέων, ἤγουν τῶν δικαίων. Πᾶς γὰρ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΑΚΗΔΙΑ

Η' Ἀκηδία εἶναι ἁμάρτημα θανάσιμον, τῆς ὁποίας ἀκολουθεῖ ἡ ἀπόγνωσις, ἡ ὀκνηρία, ἡ ῥαθυμία, ἡ ἀμέλεια, ἡ λήθη, ἡ ἀσέβεια, ἡ ἀπιστία, ἡ λειποθυμία, ἡ κατηγορία, ἡ δειλία, καὶ ἕτερα, τὰ ὁποῖα εἶναι κλάδοι, καὶ καρποὶ τῆς ἀκηδίας. Ὁ δὲ ἐγρήγορος, καὶ ἄγρυπνος τῇ ψυχῇ εἰς ταῦτα ὅλα περιγίνεται, καὶ ὑπερνικᾷ· ὅτι ὁ ἐγρήγορος ἔχει συνήγορον τὴν προσευχὴν, τὴν εὐλάβειαν, τὴν μετάνοιαν, τὴν σπουδὴν, τὴν ζέσιν, τὴν παῤῥησίαν, τὸν τοῦ Θεοῦ φόβον, τὴν ἐξομολόγησιν, τὴν μελέτην τῶν θείων Γραφῶν, δι' ὧν εὑρίσκεται ἡ ζωὴ ἡ αἰώνιος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΟΡΓΗ

Η Ὀργὴ εἶναι ἁμάρτημα θανάσιμον, ἀπὸ τὴν ὁποίαν γεννᾶται ἡ παραφροσύνη, ἡ βλασφημία, ἡ σκληρότης, ὁ θόρυβος, ὁ τρόμος τοῦ σώματος, ἡ ὕβρις, ἡ μικροψυχία, ἡ ἄνοια, ἡ ἀλλαγὴ τοῦ σώματος, καὶ ὁ φόνος, καὶ ἄλλα ἕτερα, τὰ ὁποῖα ὅλα εἶναι κλάδοι, καὶ καρποὶ τῆς ὀργῆς, καὶ τοῦ θυμοῦ. Ὁ δὲ μακρόθυμος ἄνθρωπος πάντα ταῦτα ὑποφέρει, καὶ τὰ νικᾷ· ὅτι ἀπὸ τὴν μακροθυμίαν γεννᾶται ἡ ἀκακία, καὶ ἡ ἀνεξικακία, καὶ ἡ ὑπομονή, δι' ἧς πάντα νικῶνται, καὶ δραπετεύουσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΑ ΕΠΤΑ ΧΑΡΙΣΜΑΤΑ

## ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Πνεῦμα Σοφίας, Συνέσεως, Φόβου Θεοῦ, Γνώσεως, σεβείας, Βουλῆς, Ἰσχύος.

# ΤΑ ΕΠΤΑ ΜΥΣΤΗΡΙΑ

## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ.

Βάπτισμα. Χρίσμα. Ἱερωσύνη. Γάμος. Μετάνοια. Κοινωνία. Εὐχέλαιον.

## ΑΙ ΤΕΣΣΑΡΕΣ ΑΡΕΤΑΙ ΤΗΣ ΨΥΧΗΣ.

Ἀνδρία. Φρόνησις. Δικαιοσύνη. Σωφροσύνη.

## ΑΙ ΤΕΣΣΑΡΕΣ ΑΡΕΤΑΙ ΤΟΥ ΣΩΜΑΤΟΣ.

Ῥώμη. Ἀρτιότης. Κάλλος. Ὑγεία.

Ἡ Ῥώμη ἀναλογεῖ τῇ Ἀνδρίᾳ. Καθὼς ἡ ῥώμη τοῦ σώματος εἶναι ἰσχὺς ἀκαταγώνιστος, οὕτω καί ἡ ἀνδρία ἐστὶ ῥώμη ψυχῆς κατὰ παθῶν ἰσχυρῶν καὶ δεινῶν, Θανάτου, Ταλαιπωρίας, Πόνου, καὶ τῶν ὁμοίων.

Ἡ Ἀρτιότης ἀναλογεῖ τῇ Φρονήσει. Καθὼς ἡ ἀρτιότης ἐστὶ συμπλήρωσις τῶν μελῶν τοῦ σώματος, οὕτω δὴ καὶ ἡ φρόνησις ὁμοίως ἐστὶ συμπλήρωσις τῶν τῆς ψυχῆς ὀρθῶν καταλήψεων.

Τὸ Κάλλος ἀναλογεῖ τῇ Δικαιοσύνῃ. Καθὼς τὸ κάλλος ἐν συμμετρίᾳ μελῶν μετ' εὐχροίας νοεῖται, οὕτω καὶ ἡ δικαιοσύνη ἐν συμμετρίᾳ τοῦ ὑπερβάλλοντος ἑκάστου· ἀπονεμητικὴ γάρ ἐστιν ἑκάστῳ τῶν πρὸς ἀξίαν· οἷον, Θεῷ, Γονεῦσι, Συγγενέσι, Φίλοις, Οἰκείοις, καὶ πᾶσι δικαίως ἀπονέμει τὰ δέοντα.

Ἡ Ὑγεία ἀναλογεῖ τῇ Σωφροσύνῃ. Καθὼς ἡ ὑγεία ἐστὶν εὐκρασία σώματος, ὅτω καὶ ἡ σωφροσύνη, τὸ καθαρεύειν παντὸς πάθους τὴν ψυχήν, Ἡδονῆς, Φόβου, Λύπης, καὶ Ἐπιθυμίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΜΗΝΕΣ

## Κατὰ τοὺς παλαιοὺς Ἕλληνας.

Γαμηλιὼν, ὁ Ἰανουάριος, ὅτι Γαμηλία ἡ Ἥρα, ἡ τοῖς γάμοις ἐπιστατοῦσα.

Ἐλαφηβολιὼν, ὁ Φεβρουάριος, ἀπὸ τῶν Ἐλάφων, αἳ ἐθύοντο τῇ ἐλαφηβόλῳ Ἀρτέμιδι.

Μουνυχιὼν, ὁ Μάρτιος, ἀπὸ τῶν θυσιῶν τῆς Ἀρτέμιδος.

Θαργηλιὼν, ὁ Ἀπρίλιος, ἀπὸ τῶν Θαργηλίων, ἑορτῆς Ἀπόλλωνος καὶ Ἀρτέμιδος.

Σκιροφοριὼν, ὁ Μάϊος, παρὰ τὸ φέρειν σκῖρον ἐν αὐτῷ τὸν Θησέα, ἤγουν γύψον· ὁ γὰρ Θησεὺς ἀπερχόμενος κατὰ τοῦ Μινωταύρου, τὴν Ἀθηνᾶν ποιήσας ἀπὸ γύψου ἐβάσταζεν.

Ἑκατομβαιὼν, ὁ Ἰούνιος, ἀπὸ τοῦ πλείστας ἐν τούτῳ θύεσθαι ἑκατόμβας.

Μεταγειτνιὼν, ὁ Ἰούλιος, ὅτι ἐν τούτῳ Ἀπόλλωνι μεταγειτνίωνι ἔθυον.

Βοηδρομιὼν, ὁ Αὔγουστος, ἀπὸ τῆς Βοηδρομίας, ἑορτῆς τινος Ἀθήνησιν, ἐν ᾗ ἐτιμᾶτο Βοηδρόμιος Ἀπόλλων.

Μαιμακτηριὼν, ὁ Σεπτέμβριος, ἀπὸ Διὸς μαιμάκτȣ, ἤτοι ἐνθουσιώδους καὶ ταρακτικοῦ.

Πυανεψιὼν, ὁ Ὀκτώβριος, ἀπὸ τῆς Πυανεψίας ἑορτῆς τοῦ Ἀπόλλωνος· πύανα γὰρ ἔψηνον ἐν αὐτῇ, ἤτοι κουκία.

Ἀνθεστηριὼν, ὁ Νοέμβριος, διὰ τὸ πλεῖστα τῶν ἐκ τῆς γῆς ἀνθεῖν τότε· παρ' ἄλλοις ὁ Η'. Μήν.

Ποσειδεὼν, ὁ Δεκέμβριος, ἀπὸ τοῦ Ποσειδῶνος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΥΧΗ

## ΕΙΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ

### ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

Δέσποινα Δέσποινα Μῆτερ, ἁμαρτωλῶν ἡ προστάτις,
Λιμὴν τῶν χειμαζομένων ἐν τῷ τοῦ βίου πελάγει,
Καὶ ἄγκυρα τῶν ἐν ζάλαις, καὶ ῥύστις τῶν ἐν κινδύνοις,
Η῾ μόνη ἀπηλπισμένων ἐλπὶς καὶ παραμυθία,
Ε'κ βάθους μου τῆς καρδίας, ψυχῆς τε συντετριμμένης,
Ε'ν ταπεινώσει, καὶ θλίψει, καὶ στεναγμοῖς, καὶ δακρύοις,
Πρὸς σὲ τὴν μόνην ἐλπίδα ὁ ἄθλιος καταφεύγω,
Καὶ σὲ μεσίτην αἱροῦμαι πρὸς τὸν Υἱόν σου καὶ Κτίστην.
Σύ μοι γενοῦ προστασία, μήμε ἐάσῃς ὀλέσθαι,
Ι'λέωσαι τὸν Υἱόν σου, τὸν κατ' ἐμοῦ ὀργισθέντα·
Τὴν ἀγανάκτησιν παῦσον, ἣν ἔχει πρός με δικαίως,
Ε'φ' οἷς ἐξήμαρτον τάλας, ἐφ' οἷς ἐξύβρισα τοῦτον.
Πᾶσαν ἀθέμιτον πρᾶξιν ἐτέλεσα ἐν τῷ βίῳ,
Καὶ λογισμοῖς τε, καὶ λόγοις, καὶ πάθεσιν ἀκαθάρτοις,
Ε'μόλυνα τὴν ψυχήν μου, καὶ ὅλος κατεσπιλώθην.
Η'μαύρωσά μου τὸ κάλλος, κατῄσχυνα τὴν εἰκόνα·
Φεῦ! καὶ κρουνοὶ τῶν ὀμμάτων, καὶ σταλαγμοὶ τῶν δακρύων
Κᾂν ῥέωσιν ἀενάως, ὡς ποταμοί τε καὶ κρῆναι,
Τὸ δυσαπόντιπτον αἶσχος τῆς μιανθείσης ψυχῆς μου
Πῶς ἀποτρίψουσιν ἆρα; πῶς ἔξουσιν ἀποπλῦναι;
Οἴμοι, κατάκριτος κεῖμαι, τὸν δικαστὴν παροξύνας!
Οἴμοι, τὴν κόλασιν τρέμω, καὶ τὰς ποινὰς τὰς μελλούσας!
Τίς με τὸν ἄθλιον σώσει τῆς φοβερᾶς καταδίκης;
Οὐδείς, πλὴν σοῦ Παναγία· Δέσποινα Δέσποινα σῶσον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΙΝΑΞ

## ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

### ΕΝ ΤΗ ΔΕ ΤΗ ΒΙΒΛΩ.


Εἱρμοὶ τοῦ Πρώτου Ἤχου. Σελ. 7
Εἱρμοὶ τοῦ Δευτέρου Ἤχου. 30
Εἱρμοὶ τοῦ Τρίτου Ἤχου. 49
Εἱρμοὶ τοῦ Τετάρτου Ἤχου. 60
Εἱρμοὶ τοῦ Πλαγίου πρώτου Ἤχου. 83
Εἱρμοὶ τοῦ Πλαγίου δευτέρου Ἤχου. 93
Εἱρμοὶ τοῦ Βαρέως Ἤχου. 111
Εἱρμοὶ τοῦ Πλαγίου τετάρτου Ἤχου. 121
Στιχολογία τῶν Θ΄. Ὠδῶν κατὰ τάξιν. 139
Μεγαλυνάρια ψαλλόμενα εἰς τὰς Δεσποτικὰς Ἑορτὰς εἰς τὴν ἐννάτην ᾠδήν. 159
Καταβασίαι ψαλλόμεναι καθ' ὅλον τὸν χρόνον ἐν τῷ Ὄρθρῳ. 166
Μεγαλυνάρια ψαλλόμενα εἰς τὰς Ἑορτὰς τῶν Ἁγίων, πρὸς τὴν Τιμιωτέραν. 168
Φωταγωγικὰ κατ' ἦχον ψαλλόμενα τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ ἐν τῷ Ὄρθρῳ. 180
Ἐξαποστειλάρια τῆς ὅλης Ἑβδομάδος. 182
Οἱ Αἶνοι κατὰ τὴν τάξιν αὐτῶν. 185
Ἡ Δοξολογία ἅπασα. 188


ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οἱ εἰκοσιτέσσαρες ψυχοσωτήριοι Οἶκοι εἰς τὴν Ὑπεραγίαν, καὶ Ἀειπάρθενον Θεοτόκον. Σελ. 190
Οἱ εἰκοσιτέσσαρες κοσμοχαρμόσυνοι Οἶκοι εἰς τὸν Τίμιον καὶ Ζωοποιὸν Σταυρὸν τοῦ Χριστοῦ. 202
Τύπος καὶ Ἑρμηνεία περὶ τοῦ, πῶς δεῖ τὸν εὐσεβῆ Χριστιανὸν σφραγίζειν ἐν τῷ προσώπῳ αὐτοῦ τὸ σημεῖον τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ, ἐκ τοῦ Ἰλλυρικοῦ Ὡρολογίου ἀντιγραφεῖσα καὶ μεταφρασθεῖσα. 211
Νικολάου Ἱερέως τοῦ Μαλαξοῦ περὶ σημασίας τῶν δακτύλων τῆς χειρὸς τοῦ Ἱερέως, ἐν τῷ εὐλογεῖν τὸν Χριστώνυμον Λαόν. 215
Αἱ ἑπτὰ Οἰκουμενικαὶ Σύνοδοι, συνοπτικώτατα, μετ᾽ ἀκριβοῦς χρονολογίας. 217
Περὶ Συνοικεσίων, καὶ τί ἐστι Συνοίκησις. 221
Περὶ Συγγενείας. 222
Μανουὴλ τοῦ Ξανθινοῦ περὶ Συγγενείας περιγραφή. 225
Τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα, καὶ αἱ ἑπτὰ Ἀρεταὶ αἱ καταβάλλουσαι αὐτὰ, ἐν εἴδει δένδρου. 237
Τὰ ἑπτὰ Χαρίσματα τοῦ ἁγίου Πνεύματος. 252
Τὰ ἑπτὰ Μυστήρια τῆς Ἐκκλησίας. —
Αἱ τέσσαρες ἀρεταὶ τῆς ψυχῆς. —
Αἱ τέσσαρες ἀρεταὶ τοῦ σώματος. —
Μῆνες κατὰ τοὺς παλαιοὺς Ἕλληνας. 253
Εὐχὴ εἰς τὴν Θεοτόκον, Εὐγενίου τοῦ Βουλγάρεως. 254

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ